Cum in vitae brevitate hac multa passim animo occurrant factu utilia et salubria, quae tamen ipse perficere nequeas; professoris autem bonarum litterarum partes sint, quo ipse pervenire nequeat, eos aliis viam monstrare, et adolescentes ingenuos non modo institutione, verum consilio quoque adjuvare: auctor fui juvenibus aliquot ingenio ac doctrina conspicuis, ut ad Gnomas veterum Graecorum interpretandas et recensendas animos ac studia converterent; inprimis cum illi e rationibus suis esse viderent, ut suae doctrinae specimina publice proponerent, iisque se ad majora et elaboratiora accingerent. Prodeunt itaque nunc Carmen Pythagoreum et Solonis Elegi ac fragmenta, emendata et illustrata; prior quidem particula a V. Cl. E. G. Glandorf, qui cum bibliothecae nostrae Regio-academicae a litteris sit, multa in promptu habuit subsidia, inprimis litteraria; altera vero a V. Cl. F. A. Fortlage, qui ad Osnabrugenses migravit inter Collegas Gymnasii, quod apud eos floret, adscriptus, vir doctrina, diligentia et modestia mihi inprimis probatus. Quod virorum doctorum par si lectori commendo, facere mihi videor id, quod in liberis suis, curae aliorum commendandis, sine reprehensióne faciat bonus paterfamilias, ut, ne aliorum benevolentia et officio indigni illi sint, se saltem providisse profiteatur. Scr. Goettingae d. VII. Sept. MDCCLXXVI.

EX BRUNCKII PRAEFATIONE AD GNOMICOS 1784.

Poetarum, quos Gnomicos vocant, editionem accuratam et venustam nullam videram. Veteris sapientiae, Graecaeque elegantiae studiosis gratum me facturum quid putavi, si eis enchiridion nitidius politiusque ornatum traderem. Theognidem, qui agmen hic ducit, primus in lucem edidit *Aldus Manutius*, cujus liber instar est veteris apographi, quo ipse usus est. Codicis illius vitium, ut in principem editionem, sic ex ea in ceteras omnes permanavit, quod quale sit, cuivis hanc novam cum aliis conferenti statim in oculos incurret. Nempe Theognidis poesis quae superest, non est continuum opus, sed ex fragmentis constat e variis illius hominis elegiis aut poematibus excerptis. Illam ad *quatuor codices* Bibliothecae Regiae contuli, quorum in tribus sententiae fere ad eundem modum distinctae sunt, quo in hoc libello. Singulae vel in capite habent literam majusculam miniatam, vel litera illa carent, vacuo relicto spatio, ubi peritioris calligraphi manu pingenda erat. Praeterea qui

primus farraginem illam coagmentavit, Theognideis versus plurimos immiscuit aliorum auctorum, Tyrtaei, Mimnermi, et maxime Solonis. Poterant quidem illi inter Theognideos relinqui, si Theognis seorsim et sine ullo comitatu excuderetur; sed quum adjunctos habeat illos ipsos scriptores, quorum possessionem invaserat, interdicto adversus eum agi, tum aequitatis, tum concinnitatis ratio postulabat; qua de re in notis dixi. — —

Latinam versionem plerisque horum carminum adjungi solitam, ut tironibus damnosam, doctoribus inutilem, consulto omisi. Ne tamen hic libellus omni utilitatis aut voluptatis fructu careret, quem capere possent qui litteris Graecis haud fuerunt imbuti, sententias et fragmenta ab Hugone Grotio aliisque summis viris eleganti carmine Latino reddita singulis Graecis subjeci. Notas addidi breves, criticas fere et Graecae lectionis constitutionem spectantes. Anthologiam sententiarum parallelarum e Graecis Latinisque poetis facere perfacile fuisset; sed inutili mole librum onerare nolui. Stobaeum adeant et florilegia Latinorum poetarum, qui, quot diversis modis res eadem possit enuntiari, perpendere amant.

EX THOMAE GAISFORDI PRAEFATIONE

AD POET. MIN. GR. VOL. I 1814. *)

Quanquam in hac Poetarum Minorum Graecorum editione parum vel potius nihil quod memoratu quidem dignum sit, effecerim, interit tamen lectoris, ut de instituti mei ratione, et de subsidiis quibus usus sim, in ipso operis limine certior fiat. — —

Quod ad rationem criticam spectat, satis erit in universum monuisse, me in contextu, uti vocant, constituendo, semper illaesam servare voluisse optimorum et vetustissimorum exemplarium fidem. Manuscriptorum itaque et edd. antiquarum, quotquot ad manum erant, collationibus diligenter usus, lectiones, quae vulgatis anteferendae videbantur, exinde haud dubitanter recepi. Emendationes ex conjectura rarissime (nunquam certe inconsulto lectore) admisi: quod sane saepius factum debuerat, si omnia ad accurate scribendi leges exigere mihi propositum esset. Ecquis enim nescit vitia, quae reliquias veterum deformant, codicibus hodiernis magnam partem esse antiquiora?

---

*) Volumini alteri 1815 praemissum est supplementum ex Bekkeri ed. Repeti hanc Poetarum Minorum editionem multis cum auctariis curavit G. Dindorf Lips. 1823.

In brevibus cuilibet paginae subjectis annotationibus, praeter MSStorum et edd: vett. lectiones a receptis diversas, quae ullius quidem videbantur momenti, adjeci, quotquot in adversariis enotaveram, veterum auctorum loca Hesiodum ceterosque poetas laudantium. Deinde Indices tres verborum locupletissimos addidi: quorum — — secundum, in Theognidem, post Blackwallum a Sebero mutuum sumsi. In Theognide adhibiti sunt:

Harl. MS. recentissimus Musei Britannici Harl. n. 6301.

Turneb. *ΓΝΩΜΟΛΟΓΙΑΙ ΠΑΛΑΙΟΤΑΤΩΝ ΠΟΙΗΤΩΝ* Parisiis MDLIII. apud Adrianum Turnebum typographum regium 4to.

Vinetus. Theognidis, Phocylidis, Pythagorae, Solonis, aliorumque veterum poetarum gnomica apud Crispinum 1569. 12.

Neander. Opus aureum et scholasticum etc. studio Mich. Neandri Soraviensis. Lipsiae 1577. in 4to.

Sylburgius. Theognidis, Phocylidis, Pythagorae, Solonis, et aliorum Poemata Gnomica — opera F. Sylburgii — Traj. ad Rhenum 1592. 12.

Seberus. Theognidis etc. cum indice duplici, etc. Ed. secunda, quae seorsim, praeter Graeca Ioachimi Camerarii Scholia, peculiares quoque notas exhibet, etc. et var. lect. e MSS. Aug. et Palat. opera M. Wolfgangi Seberi. Lipsiae 1620. 8vo.

Blackwall. Theognidis etc. etc. notis et emendationibus explanatae et exornatae opera Antonii Blackwall. A. M. Londini 1706. 12.

Epkema. Observata in Theognidem apud Acta Societatis Rheno-Trajectinae T. IV.

[Camerarium igitur Gaisfordus quoque neglexit.]

IMM. BEKKERI PRAEFATIO 1815.

Theognidem edo paene invitus. Quum enim probe nossem multa post Brunckium et propter Brunckium superesse in eum poetam conferenda, quae a me jam conferri non possent, malebam, si quid ei vel emendando vel supplendo utile reperissem, seorsim id proponere. Tutissimum consilium tentavi frustra. Itaque susceptis editoris partibus ut aliquatenus satisfacerem, orationem poetae et ipse passim emendavi et post me emendaturis instrumentum collegi quam potui maximum. In quo principem locum tenent codices manu scripti. Eos affero tres, Mutinensem 115, Vaticanum 915, Hamburgensem, hunc a literatissimo humanissimoque Gurlitto, illos a me, quum Parisiis essem, excussos. Et Mutinensis quidem membranaceus est, formae quadratae minimae, foliorum 112, insigni scripturae et elegan-

tia et antiquitate: quo praeter Theognidem, multo quam in ceteris libris integriorem, continetur Homeroçento, Phocylides, Coluthus, Dionysius Periegeta. Vaticanus formae est maximae, foliorum bombycinorum 258, complexus simul Homerum, Hesiodum, Theocritum, Lycophronem, Phocylidem, alios, recensendos Hasio in Catalogo suo codicum ex Vaticano Parisios translatorum. Quem tertio loco posui, Gurlittus narrat bibliothecae Hamburgensi donatum esse ab Io. Mich. Dilherro, professore Jenensi, mox Norimbergensi: scriptum in charta pergamena formae octonariae, literis iis quae aetatem referant inventae jam artis typographicae: et poterit videri recentior Aldo. Continet et ipse multa multorum: Ajacis Sophoclei partem postremam, Apollonii Rhodii libros 3 et 4, Phocylidem, Gregorii Nazianzeni sententias, Versus Sibyllinos, Theocriti idyllia sex, de re metrica commentariolos tres.

EX IO. FR. BOISSONADII PRAEFATIONE

AD POETAS GR. GNOMICOS PARIS. 1823 ED.

In edendis hisce poetis non mihi repetendam sumsi Brunckianam editionem; quod consilium, qui viro doctissimo et *κριτικωτάτῳ* placuerit, vix intelligere possum. Brunckiana, in Theognide praesertim, recensio prorsus fuit negligenda, adeo pro libitu fragmentorum lectionem mutavit. Recensionem superiorum editorum praecipue exhibui, usus insuper optima Bekkeri editione, qui Theognidem versibus CLIX e codice Mutinensi auxit. Nam Bekkerus, homo summae industriae et eximiae diligentiae, cui scriptores egregii, Oratores scilicet Graeci et Thucydides, plurimum debent, minores etiam auctores, nec non minimos, Coluthum, Tzetzem, Theognidem, copiis collatorum a se codicum adhibitis, correxit et supplevit; criticorum quorumdam superba fastidia perosus, qui splendida adorant nomina non sine superstitione, et quidquid auctorum non intra classica tempora nituit ut sordidos et capite censos despuunt ac proculcant. Supplementum illud, quod in Gallia primus edo, Suidae firmat testimonium referentis *παρεσπαρμένας* esse Theognideis *μωρίας καὶ παιδικοὺς ἔρωτας*. Sunt enim hi novi versus ut plurimum directi ad amasium, verbis tamen modestis.

ΘΕΟΓΝΙΔΟΣ

ΓΝΩΜΑΙ ΠΡΟΣ ΚΥΡΝΟΝ.

Κριοὺς μὲν καὶ ὄνους διζήμεθα, Κύρνε, καὶ ἵππους
  εὐγενέας, καί τις βούλεται ἐξ ἀγαθῶν
βήσεσθαι· γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει 185
  ἐσθλὸς ἀνήρ, ἤν οἱ χρήματα πολλὰ διδῷ.
5 οὐδὲ γυνὴ κακοῦ ἀνδρὸς ἀναίνεται εἶναι ἄκοιτις
  πλουσίου, ἀλλ' ἀφνεὸν βούλεται ἀντ' ἀγαθοῦ.
χρήματα γὰρ τιμῶσι· καὶ ἐκ κακοῦ ἐσθλὸς ἔγημεν,
  καὶ κακὸς ἐξ ἀγαθοῦ· πλοῦτος ἔμιξε γένος. 190

Αὐτός τοι ταύτην εἰδὼς κακόπατριν ἐοῦσαν 193
10 εἰς οἴκους ἄγεται, χρήμασι πειθόμενος,
εὔδοξος κακόδοξον, ἐπεὶ κρατερή μιν ἀνάγκη
  ἐντύει, ἥ τ' ἀνδρὸς τλήμονα θῆκε νόον.

Κύρν', οἱ πρόσθ' ἀγαθοὶ νῦν αὖ κακοί, οἱ δὲ κακοὶ πρὶν
  νῦν ἀγαθοί. τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν, 1110
15 τοὺς ἀγαθοὺς μὲν ἀτιμοτέρους, κακίους δὲ λαχόντας
  τιμῆς; μνηστεύει δ' ἐκ κακοῦ ἐσθλὸς ἀνήρ.
ἀλλήλους δ' ἀπατῶντες ἐπ' ἀλλήλοισι γελῶσιν,
  οὔτ' ἀγαθῶν μνήμην εἰδότες οὔτε κακῶν.

Κύρνε, πόλις μὲν ἔθ' ἥδε πόλις, λαοὶ δὲ δὴ ἄλλοι,
20 οἳ πρόσθ' οὔτε δίκας ἤδεσαν οὔτε νόμους,

---

1. Ἐξ εὐγενῶν γέννα. Sosiad. Sept. sap. dict. ap. Stob. S. 3.

ἀλλ' ἀμφὶ πλευρῆσι δορὰς αἰγῶν κατέτριβον, 55
ἔξω δ' ὥςτ' ἔλαφοι τῆςδ' ἐνέμοντο πόλεος.

Εἰκὸς τὸν κακὸν ἄνδρα κακῶς τὰ δίκαια νομίζειν,
μηδεμίαν κατόπισθ' ἀζόμενον νέμεσιν. 280
25 δειλῷ γάρ τ' ἀπάλαμνα βροτῷ πάρα πόλλ' ἀνελέσθαι
πὰρ ποδός, ἡγεῖσθαί θ' ὡς καλὰ πάντα τιθεῖ.

Νῦν δὲ τὰ τῶν ἀγαθῶν κακὰ γίγνεται ἐσθλὰ κακοῖσιν
ἀνδρῶν· ἡγέονται δ' ἐκτραπέλοισι νόμοις. 290
αἰδὼς μὲν γὰρ ὄλωλεν· ἀναιδείη δὲ καὶ ὕβρις
30 νικήσασα δίκην, γῆν κατὰ πᾶσαν ἔχει.

Ἤδη νῦν αἰδὼς μὲν ἐν ἀνθρώποισιν ὄλωλεν, 647
αὐτὰρ ἀναιδείη γαῖαν ἐπιστρέφεται.

Οὐδένα παμπήδην ἀγαθὸν καὶ μέτριον ἄνδρα 615
τῶν νῦν ἀνθρώπων ἠέλιος καθορᾷ.

35 Ἐλπὶς ἐν ἀνθρώποισι μόνη θεὸς ἐσθλὴ ἔνεστιν, 1135
ἄλλοι δ' Οὔλυμπόνδ' ἐκπρολιπόντες ἔβαν.
ᾤχετο μὲν Πίστις, μεγάλη θεός· ᾤχετο δ' ἀνδρῶν
Σωφροσύνη· Χάριτές τ', ὦ φίλε, γῆν ἔλιπον.
ὅρκοι δ' οὐκέτι πιστοὶ ἐν ἀνθρώποισι δίκαιοι,
40 οὐδὲ θεοὺς οὐδεὶς ἅζεται ἀθανάτους. 1140
εὐσεβέων δ' ἀνδρῶν γένος ἔφθιτο, οὐδὲ θέμιστας
οὐκέτι γιγνώσκουσ' οὐδὲ μὲν εὐσεβίας.
ἀλλ' ὄφρα τις ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
εὐσεβέων περὶ θεούς, Ἐλπίδα προςμενέτω·

---

31. Δίκη δ' ἐν χερσὶ καὶ αἰδὼς
οὐκ ἔσται· βλάψει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα
μύθοισι σκολιοῖς ἐνέπων, ἐπὶ δ' ὅρκον ὀμεῖται.
Hesiod. O. et D. 194. Spohn.

35. Καὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης
λευκοῖσιν φαρέεσσι καλυψαμένω χρόα καλόν,
ἀθανάτων μετὰ φῦλ' ἴτην, προλιπόντ' ἀνθρώπους,
Αἰδὼς καὶ Νέμεσις. Id. 199.

45 εὐχέσθω δὲ θεοῖσι κατ' ἀγλαὰ μηρία καίων, 1145
'Ελπίδι τε πρώτῃ καὶ πυμάτῃ θυέτω.
φραζέσθω δ' ἀδίκων ἀνδρῶν σκολιὸν λόγον αἰεί,
οἳ θεῶν ἀθανάτων μηδὲν ὀπιζόμενοι
αἰὲν ἐπ' ἀλλοτρίοις κτεάνοις ἐπέχουσι νόημα,
50 αἰσχρὰ κακοῖς ἔργοις σύμβολα θηκάμενοι. 1150

Ταῦτα μὲν οὕτως ἴσθι. κακοῖσι δὲ μὴ προςομίλει
ἀνδράσιν, ἀλλ' αἰεὶ τῶν ἀγαθῶν ἔχεο·
καὶ μετὰ τοῖσιν πῖνε καὶ ἔσθιε, καὶ παρὰ τοῖσιν
ἵζε, καὶ ἅνδανε τοῖς, ὧν μεγάλη δύναμις.
55 ἐσθλῶν μὲν γὰρ ἀπ' ἐσθλὰ μαθήσεαι· ἢν δὲ κακοῖσιν 35
συμμίσγῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.
ταῦτα μαθὼν ἀγαθοῖσιν ὁμίλεε, καί ποτε φήσεις
εὖ συμβουλεύειν τοῖσι φίλοισιν ἐμέ.

Σοὶ δ' ἐγὼ εὖ φρονέων ὑποθήσομαι, οἷά περ αὐτός, 27
60 Κύρν', ἀπὸ τῶν ἀγαθῶν παῖς ἔτ' ἐὼν ἔμαθον.

Χρὴ Μουσῶν θεράποντα καὶ ἄγγελον, εἴ τι περισσὸν
εἰδείη σοφίης, μὴ φθονερὸν τελέθειν, 770
ἀλλὰ τὰ μὲν μῶσθαι, τὰ δὲ δεικνύναι, ἄλλα δὲ ποιεῖν.
τί σφιν χρήσηται, μοῦνος ἐπιστάμενος;

---

51. *Μηδὲ κακῶν ἕταρον, μηδ' ἐσθλῶν νεικεστῆρα.*
Hesiod. 718.

Τοὺς δὲ προκεκριμένους ἄνδρας ἀγαθοὺς ἀγαπᾶν, καὶ ἐντυγχάνειν αὐτοῖς. Charondas in Prooemio leg. ap. Stob. S. 42. *Ἔγραψε δὲ ὁ Χαρώνδας καὶ περὶ τῆς κακομιλίας νόμον — ἀπηγόρευσε τῇ τῶν πονηρῶν φιλίᾳ τε καὶ συνηθείᾳ χρήσασθαι.* Diod. XII, 12.

Μὴ κακοῖς ὁμίλει. Solon. ap. Diog. L. I, 60. Demetr. Phal. Septem Sap. dict. ap. Stob. 3. *Εὐγένειαν ἄσκει. κακίας ἀπέχου. Ἀγαθοὺς τίμα.* Sosiad. Sept. Sap. dict. ibid.

Ὁμιλίας τε τὰς γεραιτέρας φίλει.
Eurip. Erechth. II, 21.

59. *Σοὶ δ' ἐγὼ ἐσθλὰ νοέων ἐρέω.* Hesiod. 288.
Παῖδ' ἔτ' ἐόντα χρεὼν δὴ καλὰ διδάσκεμεν ἔργα.
Phocylides ap. Plutarch. de puer. educ. p. 3.

65 Πλοῦτος καὶ σοφίη θνητοῖς ἀμαχώτατον αἰεί·
οὔτε γὰρ ἂν πλούτου θυμὸν ὑπερκορέσαις,
ὡς δ' αὔτως σοφίην ὁ σοφώτατος οὐκ ἀποφεύγει,
ἀλλ' ἔραται, θυμὸν δ' οὐ δύναται τελέσαι. 1160

Σοὶ δέ τοι, οἷά τε παιδὶ πατήρ, ὑποθήσομαι αὐτὸς
70 ἐσθλά· σὺ δ' ἐν θυμῷ καὶ φρεσὶ ταῦτα βάλευ. 1050

Οὐδὲν ἐν ἀνθρώποισι πατρὸς καὶ μητρὸς ἄμεινον 131
ἔπλετο, τοῖς ὁσίη, Κύρνε, μέμηλε δίκη.

Οἳ δ' ἀπογηράσκοντας ἀτιμάζουσι τοκῆας, 821
τούτων τοι χώρη, Κύρν', ὀλίγη τελέθει.

---

66. Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται.
Solon. V, 71. Br.

70. Ὦ Πέρση, σὺ δὲ ταῦτα τεῷ ἐνικάτθεο θυμῷ.
Ὦ Πέρση, σὺ δὲ ταῦτα μετὰ φρεσὶ βάλλεο σῇσι.
Hesiod. 27. 277.

Εὖ νῦν μοι τάδ' ἕκαστα μετὰ φρεσὶ πευκαλίμῃσιν
φράζεσθαι· πρῶτον μὲν, ὅτ' εἰς δόμον εἰςαφίκηαι,
ἔρδειν ἱερὰ καλὰ θεοῖς ἀειγενέτῃσιν.
Chironis Gnom. Hesiodo adscr. ap. Schol. Pind. P. VI. 19.

Τοὔνεκά τοι ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον.
Odyss. XVIII, 128.

75. Ὅς τε γονῆα γέροντα κακῷ ἐπὶ γήραος οὐδῷ
νεικείῃ χαλεποῖσι καθαπτόμενος ἐπέεσσιν·
τῷ δή τοι Ζεὺς αὐτὸς ἀγαίεται, ἐς δὲ τελεύτην
ἔργων ἀντ' ἀδίκων χαλεπὴν ἐπέθηκεν ἀμοιβήν.
Hesiod. 333.

— Σχέτλιοι, οὔτε θεῶν ὄπιν εἰδότες· οὐδέ κεν οἵ γε
γηράντεσσι τοκεῦσιν ἀπὸ θρεπτήρια δοῖεν.
Hesiod. 189.

— Οὐδὲ τοκεῦσιν
θρέπτρα φίλοις ἀπέδωκε, μινυνθάδιος δὲ οἱ αἰὼν
ἔπλετο. Iliad. IV, 478. XVII, 302.

Γονεῖς τιμᾶν. Primum inter tria, quae ferebantur, Triptolemi praecepta, alterum in Hesiodea Chironis Gnomologia. V. *Trilogie Prometheus* p. 101.

Οἵους ἂν ἐράνους ἐνέγκῃς τοῖς γονεῦσι, τούτους αὐτὸς ἐν τῷ γήρᾳ παρὰ τῶν τέκνων προςδέχου. Pittac, ap. Demetr.

Ἔστω δὲ μέγιστα ἀδικήματα θεῶν καταφρόνησις καὶ γονέων κάκωσις ἑκούσιος κ. τ. λ. Charondas.

Ἐάν τις μὴ τρέφῃ τοὺς γονέας, ἄτιμος ἔστω. Lex Solonis.

Νόμος γονεῦσιν ἰσοθέους τιμὰς νέμειν.
Menand. fr. inc. 114.

74. Πολλάκι γὰρ σύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα.
Hesiod. 242.

75 *Κύρνε, θεοὺς αἰδοῦ καὶ δείδιθι. τοῦτο γὰρ ἄνδρα*
εἴργει μήθ' ἔρδειν μήτε λέγειν ἀσεβῆ. 1180

Αἰδεῖσθαί τε φίλους, φεύγειν τ' ὀλεσήνορας ὅρκους·
ἐντρέπε' ἀθανάτων μῆνιν ἀλευάμενος. 400

Μή τι θεοὺς ἐπίορκον ἐπόμνυθι· οὐ γὰρ ἀνεκτὸν 1195
80 *ἀθανάτους κρύψαι χρεῖος ὀφειλόμενον.*

Ἀρχῇ ἔπι ψεύδους μικρὴ χάρις· ἐς δὲ τελευτὴν
αἰσχρὸν δὴ κέρδος καὶ κακόν, ἀμφότερον,
γίγνεται· οὐδέ τι καλόν, ὅτῳ ψεῦδος προσομαρτῇ
ἀνδρί, καὶ ἐξέλθῃ πρῶτον ἀπὸ στόματος. 610

85 *Εἴθ' εἴης ἔργων αἰσχρῶν ἀπαθὴς καὶ ἀεργός,* 1177
Κύρνε! μεγίστην κεν πεῖραν ἔχοις ἀρετῆς.

Πέπνυσο, μηδ' αἰσχροῖσιν ἐπ' ἔργμασι μηδ' ἀδίκοισιν
τιμὰς μηδ' ἀρετὰς ἕλκεο μηδ' ἄφενος. 30

Ἀμφ' ἀρετῇ τρίβου, καί σοι τὰ δίκαια φίλ' ἔστω, 465
90 *μηδέ σε νικάτω κέρδος, ὅτ' αἰσχρὸν ἔῃ.*

---

75. *Εὖ δ' ὄπιν ἀθανάτων μακάρων πεφυλαγμένος εἶναι.*
Hesiod. 708.
Ἀθανάτους μὲν πρῶτα θεοὺς νόμῳ ὡς διακεῖται
τίμα, καὶ σέβου ὅρκον, ἔπειθ' ἥρωας ἀγαύους.
Aur. carm. Pythag. 1.
Εἴς τε δικαιοσύνην θνητῶν γένος ἤγαγε, δείξας
ὅρκον καὶ θυσίας ἱλαρὰς καὶ σχήματ' Ὀλύμπου.
Titanomach. ap. Clem. Alex. Str. I. p. 306, de Chirone Gnomologo.

77. *Χρῶ τοῖς θεοῖς. φίλους εὐσέβει· γονεῖς αἰδοῦ.* Solon.
Τὸν μὲν θεὸν φοβοῦ. τοὺς δὲ γονεῖς τίμα. τοὺς δὲ φίλους αἰσχύνου. τοῖς δὲ νόμοις πείθου. Isocr. ad Demon. p. 6. Wolf.
Ὅρκῳ μὴ χρῶ. Sosiad. Sept. Sap. dict ap. Stob. 3. p. 47.

81. *Καλοκαγαθίαν ὅρκου πιστοτέραν ἔχε. μὴ ψεύδου.* Solon ap. Apollod. de sectis philosoph. Diog. L. I, 60.

87. *Μνῆμα τόδ' Ἱππάρχου, στεῖχε δίκαια φρονῶν.*
Ap. Plat. Hipparch. p. 229.

89. *Μὴ κακὰ κερδαίνειν· κακὰ κέρδεα ἶσ' ἄτησιν.*
Hesiod. 354.
Ζημίαν αἱρεῖσθαι μᾶλλον ἢ κέρδος αἰσχρόν. Chilo.
Κέρδος αἰσχρὸν φύσεως κατηγορία. Periander ap. Stob. 3.
Κέρδος αἰσχρὸν βαρὺ κειμήλιον. Id. ibid. 3. *Μηδὲν χρημάτων ἕνεκα πράττειν· δεῖν γὰρ κερδαντὰ κερδαίνειν.* Id. ap. Diog. L. I, 97.

Οὐδείς, Κύρν', ἄτης καὶ κέρδεος αἴτιος αὐτός,
ἀλλὰ θεοὶ τούτων δώτορες ἀμφοτέρων.
οὐδέ τις ἀνθρώπων ἐργάζεται, ἐν φρεσὶν εἰδὼς 135
ἐς τέλος εἴτ' ἀγαθὸν γίγνεται εἴτε κακόν.
95 *πολλάκι γὰρ δοκέων θήσειν κακόν, ἐσθλὸν ἔθηκεν·*
καί τε δοκῶν θήσειν ἐσθλόν, ἔθηκε κακόν.
οὐδέ τῳ ἀνθρώπων παραγίγνεται, ὅσσ' ἐθέλῃσιν·
ἴσχει γὰρ χαλεπῆς πείρατ' ἀμηχανίης. 140
ἄνθρωποι δὲ μάταια νομίζομεν, εἰδότες οὐδέν·
100 *θεοὶ δὲ κατὰ σφέτερον πάντα τελοῦσι νόον.*

Βούλεο δ' εὐσεβέων ὀλίγοις σὺν χρήμασιν οἰκεῖν, 145
ἢ πλουτεῖν, ἀδίκως χρήματα πασάμενος.

Ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή 'στιν,
πᾶς δέ τ' ἀνὴρ ἀγαθός, Κύρνε, δίκαιος ἐών.

105 *Χρήματα μὲν δαίμων καὶ παγκάκῳ ἀνδρὶ δίδωσιν,*
Κύρν'· ἀρετῆς δ' ὀλίγοις ἀνδράσι μοῖρ' ἕπεται. 150

Ὕβριν, Κύρνε, θεὸς πρῶτον κακῷ ὤπασεν ἀνδρί,
οὗ μέλλει χώρην μηδεμίαν θέμεναι.

Ὁ πλούτῳ καὶ χρήμασι δουλεύων καταφρονείσθω. Charondas ap. Stob. 42. *Μὴ πλούτει κακῶς.* Pittacus. *Δικαίως πλούτει.* Sosiad.
Ἐς τὸ πᾶν δέ τοι λέγω βωμὸν αἰδέσαι δίκας
μηδέ νιν
κέρδος ἰδὼν ἀθέῳ ποδὶ λὰξ ἀτίσῃς.
Aeschyl. Eum. 541.

95. *Ἀλλ' οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ.*
Iliad. XVIII, 328.

103. *Αὕτη μὲν οὖν ἡ δικαιοσύνη ἀρετὴ μέν ἐστι τελεία, ἀλλ' οὐχ ἁπλῶς, ἀλλὰ πρὸς ἕτερον· καὶ διὰ τοῦτο πολλάκις κρατίστη τῶν ἀρετῶν εἶναι δοκεῖ ἡ δικαιοσύνη· καὶ οὔθ' ἕσπερος οὔθ' ἑῷος οὕτω θαυμαστός· καὶ παροιμιαζόμενοί φαμεν· Ἐν δὲ δ. συλλήβδην κ. τ. λ.* Aristot. Eth. Nicom. V, 1. *Una excellentissima virtus justitia.* Cicero N. D. I, 2.
Δικαιοσύνης τὸ χρυσοῦν πρόσωπον.
Pind. Fragm. p. 114.
Δικαιοσύνης τηλαυγὲς χρυσοῦν πρόσωπον.
Eurip. Melanippe in Cod. Paris. (Wolfii Anal. IV, 537.).

107. *Ὦ Πέρση, σὺ δ' ἄϊε δίκης, μηδ' ὕβριν ὄφελλε κ. τ. λ.*
Hesiod. 215.

Τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ὄλβος ἕπηται
110 *ἀνθρώπῳ, καὶ ὅτῳ μὴ νόος ἄρτιος ᾖ.*

Μή ποτέ τοι πενίην θυμοφθόρον ἀνδρὶ χολωθείς, 155
μηδ' ἀχρημοσύνην οὐλομένην πρόφερε.
Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιῤῥέπει ἄλλοτε ἄλλως,
ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε δ' οὐδὲν ἔχειν.

115 *Μή ποτε, Κύρν', ἀγορᾶσθαι ἔπος μέγα. οἶδε γὰρ οὐδεὶς*
ἀνθρώπων, ὅ τι νὺξ χἠμέρη ἀνδρὶ τελεῖ. 160

Πολλοί τοι χρῶνται δειλαῖς φρεσί, δαίμονι δ' ἐσθλῷ,
οἷς τὸ κακὸν δοκέον γίγνεται εἰς ἀγαθόν.
εἰσὶν δ' οἳ βουλῇ τ' ἀγαθῇ καὶ δαίμονι δειλῷ
120 *μοχθίζουσι, τέλος δ' ἔργμασιν οὐχ ἕπεται.*

Οὐδεὶς ἀνθρώπων οὔτ' ὄλβιος οὔτε πενιχρός, 165
οὔτε κακὸς νόσφιν δαίμονος οὔτ' ἀγαθός.

Ἄλλ' ἄλλῳ κακόν ἐστι, τὸ δ' ἀτρεκὲς ὄλβιος οὐδεὶς
ἀνθρώπων, ὁπόσους ἠέλιος καθορᾷ.

Οἷς δ' ὕβρις τε μέμηλε κακὴ καὶ σχέτλια ἔργα,
τοῖς δὲ δίκην Κρονίδης τεκμαίρεται εὐρύοπα Ζεύς.
Hesiod. 240.
Βαῖνε δίκης ἄσσον· μάλα τοι κακὸν ἀνδράσιν ὕβρις.
Ap. Plutarch. S. N. V. 10 et Vit. Cim. 6.
111. *Μηδέ ποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ*
τέτλαθ' ὀνειδίζειν, μακάρων δόσιν αἰὲν ἐόντων.
Hesiod. 719.
113. *Καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα.*
Iliad. VIII, 69. XXII, 209.
115. *Ζεῦ πάτερ, οὐ μὲν καλὸν ὑπέρβιον εὐχετάασθαι.*
Iliad. XVII, 19.
123. *Οὐδὲ μάκαρς οὐδεὶς πέλεται βροτός, ἀλλὰ πονηροὶ* *)
πάντες, ὅσους θνητοὺς ἠέλιος καθορᾷ.
Solon. VI.
Πάντεσι θνατοῖσι δαίμων ἐπέταξε πόνους ἄλλοισιν ἄλλους.
Bacchyl. fr. 19. cf. 1.

*) *Miseri;* contra *δύστηνος* aliquando sonat *detestabilis, omnium odio dignus*, ut *infelix* et *miser* apud Latinos. *Ruhnk. Ep. crit. alt.* p. 226. Pravam accentus distinctionem refutat Trypho ap. *Ammon.* v. *πονηρός*.

125 Ὃν δὲ θεοὶ τιμῶσιν, ὁ καὶ μωμεύμενος αἰνεῖ·
ἀνδρὸς δὲ σπουδὴ γίγνεται οὐδεμία. 170

Θεοῖς εὔχου, οἷς ἐστὶ μέγα κράτος. οὔ τι ἄτερ θεῶν 171
γίγνεται ἀνθρώποις, οὔτ' ἀγαθ' οὔτε κακά.

Οὐκ ἔραμαι πλουτεῖν οὐδ' εὔχομαι, ἀλλά μοι εἴη 1155
130 ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.

Εὐδαίμων εἴην καὶ θεοῖς φίλος ἀθανάτοισιν, 653
Κύρν'· ἀρετῆς δ' ἄλλης οὐδεμιῆς ἔραμαι.

Ταῦτα μαθών, φίλ' ἑταῖρε, δικαίως χρήματα ποιοῦ,
σώφρονα θυμὸν ἔχων ἐκτὸς ἀτασθαλίης,
135 αἰεὶ τῶνδ' ἐπέων μεμνημένος. ἐς δὲ τελευτὴν 755
αἰνήσεις μύθῳ σώφρονι πειθόμενος.

---

125. *Θεοὶ δ' ὅταν τιμῶσιν* *) *οὐδὲν δεῖ φίλων.*
Euripid. Herc. F. 1373.

126. *Πόλλ' ἀπατηθῆναι διζήμενον ἔμμεναι ἐσθλόν.*
Phocylides **).

127. *Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε,*
ὅππως κεν ἐθέλῃσιν· ὁ γὰρ κάρτιστος ἁπάντων.
Iliad. XX, 242.

Ζεὺς δ' αὐτὸς νέμει ὄλβον Ὀλύμπιος ἀνθρώποισιν,
ἐσθλοῖς ἠδὲ κακοῖσιν, ὅπως ἐθέλῃσιν, ἑκάστῳ.
Odyss. VI, 188.

Οὔτις ἄνευθε θεῶν ἀρετὴν λάβεν, οὐ πόλις, οὔτις
οὐ βρότος ***), *οὐ θεος κ. τ. λ.*
Simonid. ap. Theophil. ad Autol. II, p. 74.

Ζεῦ βασιλεῦ, τὰ μὲν ἐσθλὰ καὶ εὐχομένοις καὶ ἀνεύκτοις
ἄμμι δίδου, τὰ δὲ δεινὰ καὶ εὐχομένοις ἀπαλέξειν.
Ap. Plat. Alcib. II, c. 9. ****).

129. *Οὔ μοι τὰ Γύγεω τοῦ πολυχρύσου μέλει.*
Archilochus.

135. *Ἀλλὰ σύ γ' ἡμετέρης μεμνημένος αἰὲν ἐφετμῆς —*
Hesiod. 300.

*) Iacobs. ad Athen. p. 60 conjicit *θεοὶ δ' ὃν ἂν τ. — φωτὶ — ὄν κε θεὸς τιμᾷ.* Odyss. XVII, 98. cf. Solon. V, 11.

**) Phocylidis sententia a Plutarcho de recta aud. rat. 18. (p. 47 F.) servata vide num ab hoc Theognidis loco lucem accipiat. Aliena certe sunt, quae cum illa Wyttenbachius componit.

***) Ita ap. Aeschyl. Eum. 518 *ἢ πόλις βροτός θ' ὁμοίως.*

****) Procl. in Tim. et remp. p. 402 *τά τε λυγρὰ καὶ εὐχομένων ἀπερύκοις.*

75 *Κύρνε, θεοὺς αἰδοῦ καὶ δείδιθι. τοῦτο γὰρ ἄνδρα*
εἴργει μήθ' ἔρδειν μήτε λέγειν ἀσεβῆ. 1180

Αἰδεῖσθαί τε φίλους, φεύγειν τ' ὀλεσήνορας ὅρκους·
ἐντρέπε' ἀθανάτων μῆνιν ἀλευάμενος. 400

Μή τι θεοὺς ἐπίορκον ἐπόμνυθι· οὐ γὰρ ἀνεκτὸν 1195
80 *ἀθανάτους κρύψαι χρεῖος ὀφειλόμενον.*

Ἀρχῇ ἔπι ψεύδους μικρὴ χάρις· ἐς δὲ τελευτὴν
αἰσχρὸν δὴ κέρδος καὶ κακόν, ἀμφότερον,
γίγνεται· οὐδέ τι καλόν, ὅτῳ ψεῦδος προσομαρτῇ
ἀνδρί, καὶ ἐξέλθῃ πρῶτον ἀπὸ στόματος. 610

85 *Εἴθ' εἴης ἔργων αἰσχρῶν ἀπαθὴς καὶ ἀεργός,* 1177
Κύρνε! μεγίστην κεν πεῖραν ἔχοις ἀρετῆς.

Πέπνυσο, μηδ' αἰσχροῖσιν ἐπ' ἔργμασι μηδ' ἀδίκοισιν
τιμὰς μηδ' ἀρετὰς ἕλκεο μηδ' ἄφενος. 30

Ἀμφ' ἀρετῇ τρίβου, καί σοι τὰ δίκαια φίλ' ἔστω, 465
90 *μηδέ σε νικάτω κέρδος, ὅτ' αἰσχρὸν ἔῃ.*

---

75. *Εὖ δ' ὄπιν ἀθανάτων μακάρων πεφυλαγμένος εἶναι.*
Hesiod. 708.
Ἀθανάτους μὲν πρῶτα θεοὺς νόμῳ ὡς διακεῖται
τίμα, καὶ σέβου ὅρκον, ἔπειθ' ἥρωας ἀγαύους.
Aur. carm. Pythag. 1.
Εἴς τε δικαιοσύνην θνητῶν γένος ἤγαγε, δείξας
ὅρκον καὶ θυσίας ἱλαρὰς καὶ σχήματ' Ὀλύμπου.
Titanomach. ap. Clem. Alex. Str. I. p. 306, de Chirone Gnomologo.

77. *Χρῶ τοῖς θεοῖς. φίλους εὐσέβει· γονεῖς αἰδοῦ.* Solon.
Τὸν μὲν θεὸν φοβοῦ. τοὺς δὲ γονεῖς τίμα. τοὺς δὲ φίλους αἰσχύνου. τοῖς δὲ νόμοις πείθου. Isocr. ad Demon. p. 6. Wolf.
Ὅρκῳ μὴ χρῶ. Sosiad. Sept. Sap. dict. ap. Stob. 3. p. 47.

81. *Καλοκαγαθίαν ὅρκου πιστοτέραν ἔχε. μὴ ψεύδου.* Solon ap. Apollod. de sectis philosoph. Diog. L. I, 60.

87. *Μνῆμα τόδ' Ἱππάρχου, στεῖχε δίκαια φρονῶν.*
Ap. Plat. Hipparch. p. 229.

89. *Μὴ κακὰ κερδαίνειν· κακὰ κέρδεα ἶσ' ἄτησιν.*
Hesiod. 354.
Ζημίαν αἱρεῖσθαι μᾶλλον ἢ κέρδος αἰσχρόν. Chilo.
Κέρδος αἰσχρὸν φύσεως κατηγορία. Periander ap. Stob. 3. *Κέρδος αἰσχρὸν βαρὺ κειμήλιον.* Id. ibid. 3. *Μηδὲν χρημάτων ἕνεκα πράττειν· δεῖν γὰρ κερδαντὰ κερδαίνειν.* Id. ap. Diog. L. I, 97.

ἀλλὰ τάδ' ἀνθρώπων ἀπατᾷ νόον· οὐ γὰρ ἔτ' αὐτοὺς
 τίνονται μάκαρες πρήγματος ἀμπλακίης.
145 ἀλλ' ὁ μὲν αὐτὸς ἔτισε κακὸν χρέος, οὐδὲ φίλοισιν — 205
 ἄτην ἐξοπίσω παισὶν ἐπεκρέμασεν·
ἄλλον δ' οὐ κατέμαρψε δίκη· θάνατος γὰρ ἀναιδὴς
 πρόσθεν ἐπὶ βλεφάροις ἕζετο, κῆρα φέρων.

Ζεῦ φίλε, θαυμάζω σε. σὺ γὰρ πάντεσσιν ἀνάσσεις,
150 τιμὴν αὐτὸς ἔχων καὶ μεγάλην δύναμιν·
ἀνθρώπων δ' εὖ οἶσθα νόον καὶ θυμὸν ἑκάστου· — 375
 σὸν δὲ κράτος πάντων ἔσθ' ὕπατον, βασιλεῦ.
πῶς δή σευ, Κρονίδη, τολμᾷ νόος ἄνδρας ἀλιτροὺς
 ἐν ταὐτῇ μοίρῃ τόν τε δίκαιον ἔχειν,
155 ἤν τ' ἐπὶ σωφροσύνην τρεφθῇ νόος, ἤν τε πρὸς ὕβριν
 ἀνθρώπων ἀδίκοις ἔργμασι πειθομένων; — 380
οὐδέ τι κεκριμένον πρὸς δαίμονός ἐστι βροτοῖσιν,
 οὐδ' ὁδὸς ἥν τις ἰὼν ἀθανάτοισιν ἅδοι.

Ἔμπης δ' ὄλβον ἔχουσιν ἀπήμονα. τοὶ δ' ἀπὸ δειλῶν
160 ἔργων ἴσχονται θυμόν, ὅμως πενίην
μητέρ' ἀμηχανίης ἔλαβον, τὰ δίκαια φιλεῦντες, — 385
 ἥ τ' ἀνδρῶν προάγει θυμὸν ἐς ἀμπλακίην,
βλάπτουσ' ἐν στήθεσσι φρένας κρατερῆς ὑπ' ἀνάγκης·
 τολμᾷ δ' οὐκ ἐθέλων αἴσχεα πολλὰ φέρειν,
165 χρημοσύνῃ εἴκων, ἣ δὴ κακὰ πολλὰ διδάσκει,
 ψεύδεά τ' ἐξαπάτας τ' οὐλομένας τ' ἔριδας, — 390
ἄνδρα καὶ οὐκ ἐθέλοντα· κακὸν δὲ οἱ οὐδὲν ἔοικεν·
 ἡ γὰρ καὶ χαλεπὴν τίκτει ἀμηχανίην.

Ζεῦ πάτερ, εἴθε γένοιτο θεοῖς φίλα, τοῖς μὲν ἀλιτροῖς
170 ὕβριν ἁδεῖν· καί σφιν τοῦτο γένοιτο φίλον

---

169. *Ζεῦ πάτερ, ἦ τέ σέ φασι περὶ φρένας ἔμμεναι ἄλλων,*
ἀνδρῶν ἠδὲ θεῶν· σέο δ' ἐκ τάδε πάντα πέλονται.
οἷον δὴ ἄνδρεσσι χαρίζεαι ὑβριστῇσιν,
Τρωσίν κ. τ. λ. — **Iliad. XIII, 631.**
Νῦν δὴ ἐγὼ μήτ' αὐτὸς ἐν ἀνθρώποισι δίκαιος
εἴην, μήτ' ἐμὸς υἱός· ἐπεὶ κακὸν ἄνδρα δίκαιον
ἔμμεναι, εἰ μείζω γε δίκην ἀδικώτερος ἕξει.
ἀλλὰ τάγ' οὔπω ἔολπα τελεῖν Δία τερπικέραυνον.
Hesiod. 272.

θυμῷ, σχέτλια ἔργα μετὰ φρεσὶν ὥς τις ἀπηνὴς
ἐργάζοιτο, θεῶν μηδὲν ὀπιζόμενος,

Ζεῦ πάτερ, ἦ ῥα ἔτ' ἐστὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον,
εἰ ἐτεὸν μνηστῆρες ἀτάσθαλοι ὕβριν ἔτισαν.

Odyss. XXIV, 350.

Εἴκε πάθοι τά κ' ἔρεξε, δίκη δ' ἰθεῖα γένοιτο.
Rhadamanthi sententia ap. Aristot. Eth. Nicom. V, 8. Eudem. IV, 3. Secundum Julian. in Caes. p. 314 Apollinis Pythii effatum.

Τοιαύτη Ζηνὸς πέλεται τίσις, οὐδ' ἐφ' ἑκάστῳ,
ὥσπερ θνητὸς ἀνήρ, γίγνεται ὀξύχολος.
αἰεὶ δ' οὔ τι λέληθε διαμπερές, ὅς τις ἀλιτρὸν
θυμὸν ἔχει· πάντως δ' ἐς τέλος ἐξεφάνη.
ἀλλ' ὁ μὲν αὐτίκ' ἔτισεν, ὁ δ' ὕστερον· ἢν δὲ φύγωσιν
αὐτοί, μηδὲ θεῶν Μοῖρ' ἐπιοῦσα κίχῃ,
ἤλυθε πάντως, αὖτις ἀναίτιοι ἔργα τίνουσιν
ἢ παῖδες τούτων ἢ γένος ἐξοπίσω.

Solon. V, 25.

Μίμνει δὲ μίμνοντος ἐν χρόνῳ Διός,
παθεῖν τὸν ἔρξαντα.

Aeschyl. Ag. 1585.

Δεινόν γε τοὺς μὲν δυσσεβεῖς κακῶν ἄπο
βλαστόντας, εἶτα τούσδε μὲν πράσσειν καλῶς·
τοὺς δ' ὄντας ἐσθλοὺς ἔκ τε γενναίων ἅμα
γεγῶτας εἶτα δυστυχεῖς πεφυκέναι.
οὐ χρῆν τάδ' οὕτω δαίμονας θνητῶν πέρι
πράσσειν. ἐχρῆν γὰρ τοὺς μὲν εὐσεβεῖς βροτῶν
ἔχειν τι κέρδος ἐμφανὲς θεῶν πάρα·
τοὺς δ' ὄντας ἀδίκους, τούσδε τὴν ἐναντίαν
δίκην κακῶν τιμωρὸν ἐμφανῆ τίνειν.
κοὐδεὶς ἂν οὕτως εὐτυχεῖ κακὸς γεγώς.

Sophocl. Alet.

Τὰ τῶν τεκόντων σφάλματ' εἰς τοὺς ἐκγόνους
θεοὶ τρέπουσι.

Eurip. Alcmaeon. 7. cf. Plutarch. S. N. V. 12.

Φησίν τις, εἶναι δῆτ' ἐν οὐρανῷ θεούς;
οὐκ εἰσίν, οὐκ εἰσ'. εἴ τις ἀνθρώπων λέγει,
μὴ τῷ παλαιῷ μωρὸς ὢν χρήσθω λόγῳ.
σκέψασθε δ' αὐτά, μὴ 'πὶ τοῖς ἐμοῖς λόγοις
γνώμην ἔχοντες. φημ' ἐγώ, τυραννίδα
κτείνειν τε πολλούς, κτημάτων τ' ἀποστερεῖν,
ὅρκους τε παραβαίνοντας, ἐκπορθεῖν πόλεις.
καὶ ταῦτα δρῶντες μᾶλλόν εἰσ' εὐδαίμονες
τῶν εὐσεβούντων ἡσυχῇ καθ' ἡμέραν.
πόλεις τε μικρὰς οἶδα τιμώσας θεούς,
αἳ μειζόνων κλύουσι δυσσεβεστέρων,
λόγχης ἀριθμῷ πλείονος κρατούμεναι κ. τ. λ.

Eurip. Belleroph. 25.

Ego deum genus esse semper dixi et dicam coelitum;
sed eos non curare opinor, quid agat humanum genus.
nam si curent, bene bonis sit, male malis, quod nunc abest.

Ennius p. 224 Hessel.

αὐτὸν ἔπειτα πάλιν τῖσαι κακά, μηδέ τ' ὀπίσσω 735
πατρὸς ἀτασθαλίαι παισὶ γένοιντο κακόν·
175 παῖδας δ', οἵ τ' ἀδίκου πατρὸς τὰ δίκαια νοεῦντες
ποιῶσιν, Κρονίδη, σὸν χόλον ἁζόμενοι,
ἐξ ἀρχῆς τὰ δίκαια μετ' ἀστοῖσιν φιλέοντες,
μή τιν' ὑπερβασίην ἀντιτίνειν πατέρων. 740
ταῦτ' εἴη μακάρεσσι θεοῖς φίλα· νῦν δ' ὁ μὲν ἔρδων
180 ἐκφεύγει, τὸ κακὸν δ' ἄλλος ἔπειτα φέρει.
καὶ τοῦτ', ἀθανάτων βασιλεῦ, πῶς ἐστὶ δίκαιον,
ἔργων ὅς τις ἀνὴρ ἐκτὸς ἐὼν ἀδίκων,
μή τιν' ὑπερβασίην κατέχων μηδ' ὅρκον ἀλιτρόν, 745
ἀλλὰ δίκαιος ἐών, μὴ τὰ δίκαια πάθῃ;
185 τίς δή κεν βροτὸς ἄλλος, ὁρῶν πρὸς τοῦτον, ἔπειτα
ἅζοιτ' ἀθανάτους; καὶ τίνα θυμὸν ἔχων,
ὁππότ' ἀνὴρ ἄδικος καὶ ἀτάσθαλος, οὔ τέ τι ἀνδρῶν
οὔ τέ τι ἀθανάτων μῆνιν ἀλευόμενος, 750
ὑβρίζῃ πλούτῳ κεκορημένος, οἱ δὲ δίκαιοι
190 τρύχωνται, χαλεπῇ τειρόμενοι πενίῃ;

Μηδένα πω κακότητι βιάζεο. τῷ δὲ δικαίῳ 547
τῆς εὐεργεσίης οὐδὲν ἀρειότερον.

Οὐ χρὴ πημαίνειν, ὅ τι μὴ πημαντέον εἴη·
οὐδ' ἔρδειν, ὅ τι μὴ λώϊον ᾖ τελέσαι. 690

195 Εὖ ἔρδων εὖ πάσχε. τί κ' ἄγγελον ἄλλον ἰάλλοις; 573
τῆς εὐεργεσίης ῥηδίη ἀγγελίη.

---

191. *Οἷ αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχων.*
Hesiod. 267. Democrito Chio tribuit Aristot. Rhet. III, 9.
— *Ὄφρα γνῷς κατὰ θυμόν, ἀτὰρ εἴπῃσθα καὶ ἄλλῳ,*
ὡς κακοεργεσίης εὐεργεσίη μέγ' ἀμείνων.
Odyss. XXII, 373.
Βίᾳ μηδὲν πράττειν. Cleobulus. *Πείσας λάβε, μὴ βιασάμενος.* Bias. *Βίας μὴ ἔχου.* Sosiad. Sept. Sap. dict.

Εὖ μὲν κείμενον ἄνδρα κακῶς θέμεν εὐμαρές ἐστιν, 845
εὖ δὲ θέμεν τὸ κακῶς κείμενον ἀργαλέον.

Δειλοί τοι κακότητι ματαιότεροι νόον εἰσίν, 1025
200 τῶν δ' ἀγαθῶν αἰεὶ πρήξιες ἰθύτεραι.

Ῥηϊδίη τοι πρῆξις ἐν ἀνθρώποις κακότητος· 1027
τοῦ δ' ἀγαθοῦ χαλεπή, Κύρνε, πέλει παλάμη.

Οὐδέν, Κύρν', ὀργῆς ἀδικώτερον, ἣ τὸν ἔχοντα 1223
πημαίνει, θυμῷ δειλὰ χαριζομένη.

205 Ἴσχε νόον, γλώσσῃ δὲ τὸ μείλιχον αἰὲν ἐπέστω· 365
δειλῶν τοι τελέθει καρδίη ὀξυτέρη.

Μή τέ τινα ξείνων δηλεύμενος ἔργμασι λυγροῖς,
μή τέ τιν' ἐνδήμων, ἀλλὰ δίκαιος ἐὼν
τὴν σαυτοῦ φρένα τέρπε. δυσηλεγέων δὲ πολιτῶν 795
210 ἄλλος τίς σε κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

Τοὺς ἀγαθοὺς ἄλλος μάλα μέμφεται, ἄλλος ἐπαινεῖ· 797
τῶν δὲ κακῶν μνήμη γίγνεται οὐδεμία.

Ἀνθρώπων δ' ἄψεκτος ἐπὶ χθονὶ γίγνεται οὐδείς·
ἀλλ' ὡς λώϊον, οὗ μὴ πλεόνεσσι μέλει. 800

215 Οὐδεὶς ἀνθρώπων οὔτ' ἔσσεται οὔτε πέφυκεν, 801
ὅς τις πᾶσιν ἁδὼν δύσεται εἰς Ἀΐδεω.
οὐδὲ γὰρ ὃς θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει,
Ζεὺς Κρονίδης, θνητοῖς πᾶσιν ἁδεῖν δύναται.

Τόρνου καὶ στάθμης καὶ γνώμονος ἄνδρα θεωρὸν 805
220 εὐθύτερον χρὴ μιν, Κύρνε, φυλασσέμεναι,

---

197. Ῥάδιον μὲν γὰρ πόλιν σεῖσαι καὶ ἀφαυροτέροις·
ἀλλ' ἐπὶ χώρας αὖτις ἕσσαι δυςπαλὲς δὴ γίγνεται.
Pind. P. IV, 485.

205. Νομιζέσθω δὲ πολίτης ἀμείνων ὁ τῆς ὀργῆς κρείττων, μᾶλλον τοῦ διὰ ταύτην πλημμελοῦντος. Charondas ap. Stob. S. 42.

215. Πάμπαν δ' ἄμωμος οὔτις, οὐδ' ἀκήριος.
Simonides.

Οὐδείς, Κύρν', ἄτης καὶ κέρδεος αἴτιος αὐτός,
ἀλλὰ θεοὶ τούτων δώτορες ἀμφοτέρων.
οὐδέ τις ἀνθρώπων ἐργάζεται, ἐν φρεσὶν εἰδὼς — 135
ἐς τέλος εἴτ' ἀγαθὸν γίγνεται εἴτε κακόν.
95 πολλάκι γὰρ δοκέων θήσειν κακόν, ἐσθλὸν ἔθηκεν·
καί τε δοκῶν θήσειν ἐσθλόν, ἔθηκε κακόν.
οὐδέ τῳ ἀνθρώπων παραγίγνεται, ὅσσ' ἐθέλῃσιν·
ἴσχει γὰρ χαλεπῆς πείρατ' ἀμηχανίης. — 140
ἄνθρωποι δὲ μάταια νομίζομεν, εἰδότες οὐδέν·
100 θεοὶ δὲ κατὰ σφέτερον πάντα τελοῦσι νόον.

Βούλεο δ' εὐσεβέων ὀλίγοις σὺν χρήμασιν οἰκεῖν, — 145
ἢ πλουτεῖν, ἀδίκως χρήματα πασάμενος.

Ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή 'στιν,
πᾶς δέ τ' ἀνὴρ ἀγαθός, Κύρνε, δίκαιος ἐών.

105 Χρήματα μὲν δαίμων καὶ παγκάκῳ ἀνδρὶ δίδωσιν,
Κύρν'· ἀρετῆς δ' ὀλίγοις ἀνδράσι μοῖρ' ἕπεται. — 150

Ὕβριν, Κύρνε, θεὸς πρῶτον κακῷ ὤπασεν ἀνδρί,
οὗ μέλλει χώρην μηδεμίαν θέμεναι.

Ὁ πλούτῳ καὶ χρήμασι δουλεύων καταφρονείσθω. Charondas ap. Stob. 42. *Μὴ πλούτει κακῶς.* Pittacus. *Δικαίως πλούτει.* Sosiad.
Ἐς τὸ πᾶν δέ τοι λέγω βωμὸν αἰδέσαι δίκας
μηδέ νιν
κέρδος ἰδὼν ἀθέῳ ποδὶ λὰξ ἀτίσῃς.
Aeschyl. Eum. 541.

95. *Ἀλλ' οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ.*
Iliad. XVIII, 328.

105. *Αὕτη μὲν οὖν ἡ δικαιοσύνη ἀρετὴ μέν ἐστι τελεία, ἀλλ' οὐχ ἁπλῶς, ἀλλὰ πρὸς ἕτερον· καὶ διὰ τοῦτο πολλάκις κρατίστη τῶν ἀρετῶν εἶναι δοκεῖ ἡ δικαιοσύνη· καὶ οὔθ' ἕσπερος οὔθ' ἑῷος οὕτω θαυμαστός· καὶ παροιμιαζόμενοί φαμεν· Ἐν δὲ δ. συλλήβδην κ. τ. λ.* Aristot. Eth. Nicom. V, 1. *Una excellentissima virtus justitia.* Cicero N. D. I, 2.
Δικαιοσύνης τὸ χρυσοῦν πρόσωπον.
Pind. Fragm. p. 114.
Δικαιοσύνης τηλαυγὲς χρυσοῦν πρόσωπον.
Eurip. Melanippe in Cod. Paris. (Wolfii Anal. IV, 537.).

107. *Ὦ Πέρση, σὺ δ' ἄϊε δίκης, μηδ' ὕβριν ὄφελλε κ. τ. λ.*
Hesiod. 215.

Τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ὄλβος ἕπηται
110 ἀνθρώπῳ, καὶ ὅτῳ μὴ νόος ἄρτιος ᾖ.

Μή ποτέ τοι πενίην θυμοφθόρον ἀνδρὶ χολωθείς, 155
μηδ' ἀχρημοσύνην οὐλομένην πρόφερε.
Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιῤῥέπει ἄλλοτε ἄλλως,
ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε δ' οὐδὲν ἔχειν.

115 Μή ποτε, Κύρν', ἀγορᾶσθαι ἔπος μέγα. οἶδε γὰρ οὐδεὶς
ἀνθρώπων, ὅ τι νὺξ χἠμέρη ἀνδρὶ τελεῖ. 160

Πολλοί τοι χρῶνται δειλαῖς φρεσί, δαίμονι δ' ἐσθλῷ,
οἷς τὸ κακὸν δοκέον γίγνεται εἰς ἀγαθόν.
εἰσὶν δ' οἳ βουλῇ τ' ἀγαθῇ καὶ δαίμονι δειλῷ
120 μοχθίζουσι, τέλος δ' ἔργμασιν οὐχ ἕπεται.

Οὐδεὶς ἀνθρώπων οὔτ' ὄλβιος οὔτε πενιχρός, 165
οὔτε κακὸς νόσφιν δαίμονος οὔτ' ἀγαθός.

Ἄλλ' ἄλλῳ κακόν ἐστι, τὸ δ' ἀτρεκὲς ὄλβιος οὐδεὶς
ἀνθρώπων, ὁπόσους ἠέλιος καθορᾷ.

Οἷς δ' ὕβρις τε μέμηλε κακὴ καὶ σχέτλια ἔργα,
τοῖς δὲ δίκην Κρονίδης τεκμαίρεται εὐρύοπα Ζεύς.
Hesiod. 240.
Βαῖνε δίκης ἆσσον· μάλα τοι κακὸν ἀνδράσιν ὕβρις.
Ap. Plutarch. S. N. V. 10 et Vit. Cim. 6.

111. *Μηδέ ποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ*
τέτλαθ' ὀνειδίζειν, μακάρων δόσιν αἰὲν ἐόντων.
Hesiod. 719.

113. *Καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα.*
Iliad. VIII, 69. XXII, 209.

115. *Ζεῦ πάτερ, οὐ μὲν καλὸν ὑπέρβιον εὐχετάασθαι.*
Iliad. XVII, 19.

123. *Οὐδὲ μάκαρς οὐδεὶς πέλεται βροτός, ἀλλὰ πονηροὶ* *)
πάντες, ὅσους θνητοὺς ἠέλιος καθορᾷ.
Solon. VI.
Πάντεσι θνατοῖσι δαίμων ἐπέταξε πόνους ἄλλοισιν ἄλλους.
Bacchyl. fr. 19. cf. 1.

*) *Miseri;* contra *δύστηνος* aliquando sonat *detestabilis, omnium odio dignus*, ut *infelix* et *miser* apud Latinos. *Ruhnk. Ep. crit. alt.* p. 226. Pravam accentus distinctionem refutat Trypho ap. *Ammon.* v. *πονηρός*.

125 Ὃν δὲ θεοὶ τιμῶσιν, ὁ καὶ μωμεύμενος αἰνεῖ·
    ἀνδρὸς δὲ σπουδὴ γίγνεται οὐδεμία. 170

Θεοῖς εὔχου, οἷς ἐστὶ μέγα κράτος. οὔ τι ἄτερ θεῶν 171
    γίγνεται ἀνθρώποις, οὔτ' ἀγαθ' οὔτε κακά.

Οὐκ ἔραμαι πλουτεῖν οὐδ' εὔχομαι, ἀλλά μοι εἴη 1155
130 ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.

Εὐδαίμων εἴην καὶ θεοῖς φίλος ἀθανάτοισιν, 653
    Κύρν'· ἀρετῆς δ' ἄλλης οὐδεμιῆς ἔραμαι.

Ταῦτα μαθών, φίλ' ἑταῖρε, δικαίως χρήματα ποιοῦ,
    σώφρονα θυμὸν ἔχων ἐκτὸς ἀτασθαλίης,
135 αἰεὶ τῶνδ' ἐπέων μεμνημένος. ἐς δὲ τελευτὴν 755
    αἰνήσεις μύθῳ σώφρονι πειθόμενος.

---

125. Θεοὶ δ' ὅταν τιμῶσιν *) οὐδὲν δεῖ φίλων.
Euripid. Herc. F. 1375.

126. Πόλλ' ἀπατηθῆναι διζήμενον ἔμμεναι ἐσθλόν.
Phocylides **).

127. Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε,
ὅππως κεν ἐθέλησιν· ὁ γὰρ κάρτιστος ἁπάντων.
Iliad. XX, 242.

Ζεὺς δ' αὐτὸς νέμει ὄλβον Ὀλύμπιος ἀνθρώποισιν,
ἐσθλοῖς ἠδὲ κακοῖσιν, ὅπως ἐθέλῃσιν, ἑκάστῳ.
Odyss. VI, 188.

Οὔτις ἄνευθε θεῶν ἀρετὴν λάβεν, οὐ πόλις, οὔτις
οὐ βρότος ***), οὐ θεος κ. τ. λ.
Simonid. ap. Theophil. ad Autol. II, p. 74.

Ζεῦ βασιλεῦ, τὰ μὲν ἐσθλὰ καὶ εὐχομένοις καὶ ἀνεύκτοις
ἄμμι δίδου, τὰ δὲ δεινὰ καὶ εὐχομένοις ἀπαλέξειν.
Ap. Plat. Alcib. II, c. 9. ****).

129. Οὔ μοι τὰ Γύγεω τοῦ πολυχρύσου μέλει.
Archilochus.

135. Ἀλλὰ σύ γ' ἡμετέρης μεμνημένος αἰὲν ἐφετμῆς —
Hesiod. 300.

*) Iacobs. ad Athen. p. 60 conjicit θεοὶ δ' ὃν ἂν τ. — φωτί — ὅν κε θεὸς τιμᾷ. Odyss. XVII, 98. cf. Solon. V, 11.

**) Phocylidis sententia a Plutarcho de recta aud. rat. 18. (p. 47 F.) servata vide num ab hoc Theognidis loco lucem accipiat. Aliena certe sunt, quae cum illa Wyttenbachius componit.

***) Ita ap. Aeschyl. Eum. 518 ἢ πόλις βροτός θ' ὁμοίως.

****) Procl. in Tim. et remp. p. 402 τά τε λυγρὰ καὶ εὐχομένων ἀπεργάκοις.

Εὖ μὲν κείμενον ἄνδρα κακῶς θέμεν εὐμαρές ἐστιν, 845
εὖ δὲ θέμεν τὸ κακῶς κείμενον ἀργαλέον.

Δειλοί τοι κακότητι ματαιότεροι νόον εἰσίν, 1025
200 τῶν δ' ἀγαθῶν αἰεὶ πρήξιες ἰθύτεραι.

Ῥηϊδίη τοι πρῆξις ἐν ἀνθρώποις κακότητος· 1027
τοῦ δ' ἀγαθοῦ χαλεπή, Κύρνε, πέλει παλάμη.

Οὐδέν, Κύρν', ὀργῆς ἀδικώτερον, ἣ τὸν ἔχοντα 1223
πημαίνει, θυμῷ δειλὰ χαριζομένη.

205 Ἴσχε νόον, γλώσσῃ δὲ τὸ μείλιχον αἰὲν ἐπέστω· 365
δειλῶν τοι τελέθει καρδίη ὀξυτέρη.

Μή τέ τινα ξείνων δηλεύμενος ἔργμασι λυγροῖς,
μή τέ τιν' ἐνδήμων, ἀλλὰ δίκαιος ἐὼν
τὴν σαυτοῦ φρένα τέρπε. δυσηλεγέων δὲ πολιτῶν 795
210 ἄλλος τίς σε κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

Τοὺς ἀγαθοὺς ἄλλος μάλα μέμφεται, ἄλλος ἐπαινεῖ· 797
τῶν δὲ κακῶν μνήμη γίγνεται οὐδεμία.

Ἀνθρώπων δ' ἄψεκτος ἐπὶ χθονὶ γίγνεται οὐδείς·
ἀλλ' ὡς λώϊον, οὗ μὴ πλεόνεσσι μέλει. 800

215 Οὐδεὶς ἀνθρώπων οὔτ' ἔσσεται οὔτε πέφυκεν, 801
ὅς τις πᾶσιν ἁδὼν δύσεται εἰς Ἀΐδεω.
οὐδὲ γὰρ ὃς θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει,
Ζεὺς Κρονίδης, θνητοῖς πᾶσιν ἁδεῖν δύναται.

Τόρνου καὶ στάθμης καὶ γνώμονος ἄνδρα θεωρὸν 805
220 εὐθύτερον χρή μιν, Κύρνε, φυλασσέμεναι,

---

197. Ῥάδιον μὲν γὰρ πόλιν σεῖσαι καὶ ἀφαυροτέροις·
ἀλλ' ἐπὶ χώρας αὖτις ἕσσαι δυςπαλὲς δὴ γίγνεται.
Pind. P. IV, 485.

205. Νομιζέσθω δὲ πολίτης ἀμείνων ὁ τῆς ὀργῆς κρείττων, μᾶλλον τοῦ διὰ ταύτην πλημμελοῦντος. Charondas ap. Stob. S. 42.

215. Πάμπαν δ' ἄμωμος οὔτις, οὐδ' ἀκήριος.
Simonides.

ἀλλὰ τάδ' ἀνθρώπων ἀπατᾷ νόον· οὐ γὰρ ἔτ' αὐτοὺς
    τίνονται μάκαρες πρήγματος ἀμπλακίης.
145 ἀλλ' ὁ μὲν αὐτὸς ἔτισε κακὸν χρέος, οὐδὲ φίλοισιν   205
    ἄτην ἐξοπίσω παισὶν ἐπεκρέμασεν·
ἄλλον δ' οὐ κατέμαρψε δίκη· θάνατος γὰρ ἀναιδὴς
    πρόσθεν ἐπὶ βλεφάροις ἕζετο, κῆρα φέρων.

Ζεῦ φίλε, θαυμάζω σε. σὺ γὰρ πάντεσσιν ἀνάσσεις,
150 τιμὴν αὐτὸς ἔχων καὶ μεγάλην δύναμιν·
ἀνθρώπων δ' εὖ οἶσθα νόον καὶ θυμὸν ἑκάστου·   375
    σὸν δὲ κράτος πάντων ἔσθ' ὕπατον, βασιλεῦ.
πῶς δή σευ, Κρονίδη, τολμᾷ νόος ἄνδρας ἀλιτροὺς
    ἐν ταὐτῇ μοίρῃ τόν τε δίκαιον ἔχειν,
155 ἤν τ' ἐπὶ σωφροσύνην τρεφθῇ νόος, ἤν τε πρὸς ὕβριν
    ἀνθρώπων ἀδίκοις ἔργμασι πειθομένων;   380
οὐδέ τι κεκριμένον πρὸς δαίμονός ἐστι βροτοῖσιν,
    οὐδ' ὁδὸς ἥν τις ἰὼν ἀθανάτοισιν ἅδοι.

Ἔμπης δ' ὄλβον ἔχουσιν ἀπήμονα. τοὶ δ' ἀπὸ δειλῶν
160 ἔργων ἴσχονται θυμόν, ὅμως πενίην
μητέρ' ἀμηχανίης ἔλαβον, τὰ δίκαια φιλεῦντες,   385
    ἥ τ' ἀνδρῶν προάγει θυμὸν ἐς ἀμπλακίην,
βλάπτουσ' ἐν στήθεσσι φρένας κρατερῆς ὑπ' ἀνάγκης·
    τολμᾷ δ' οὐκ ἐθέλων αἴσχεα πολλὰ φέρειν,
165 χρημοσύνῃ εἴκων, ἣ δὴ κακὰ πολλὰ διδάσκει,
    ψεύδεά τ' ἐξαπάτας τ' οὐλομένας τ' ἔριδας,   390
ἄνδρα καὶ οὐκ ἐθέλοντα· κακὸν δὲ οἱ οὐδὲν ἔοικεν·
    ἣ γὰρ καὶ χαλεπὴν τίκτει ἀμηχανίην.

Ζεῦ πάτερ, εἴθε γένοιτο θεοῖς φίλα, τοῖς μὲν ἀλιτροῖς
170 ὕβριν ἁδεῖν· καί σφιν τοῦτο γένοιτο φίλον

---

169. *Ζεῦ πάτερ, ἦ τέ σέ φασι περὶ φρένας ἔμμεναι ἄλλων,*
ἀνδρῶν ἠδὲ θεῶν· σέο δ' ἐκ τάδε πάντα πέλονται.
οἷον δὴ ἄνδρεσσι χαρίζεαι ὑβριστῇσιν,
Τρωσίν κ. τ. λ. Iliad. XIII, 631.
Νῦν δὴ ἐγὼ μήτ' αὐτὸς ἐν ἀνθρώποισι δίκαιος
εἴην, μήτ' ἐμὸς υἱός· ἐπεὶ κακὸν ἄνδρα δίκαιον
ἔμμεναι, εἰ μείζω γε δίκην ἀδικώτερος ἕξει.
ἀλλὰ τάγ' οὔπω ἔολπα τελεῖν Δία τερπικέραυνον.
Hesiod. 272.

θυμῷ, σχέτλια ἔργα μετὰ φρεσὶν ὥς τις ἀπηνὴς
ἐργάζοιτο, θεῶν μηδὲν ὀπιζόμενος,

Ζεῦ πάτερ, ἦ ῥα ἔτ' ἐστὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον,
εἰ ἐτεὸν μνηστῆρες ἀτάσθαλοι ὕβριν ἔτισαν.
Odyss. XXIV, 350.
Εἴκε πάθοι τά κ' ἔρεξε, δίκη δ' ἰθεῖα γένοιτο.
Rhadamanthi sententia ap. Aristot. Eth. Nicom. V, 8.
Eudem. IV, 3. Secundum Julian. in Caes. p. 314
Apollinis Pythii effatum.
Τοιαύτη Ζηνὸς πέλεται τίσις, οὐδ' ἐφ' ἑκάστῳ,
ὥςπερ θνητὸς ἀνήρ, γίγνεται ὀξύχολος.
αἰεὶ δ' οὔ τι λέληθε διαμπερές, ὅς τις ἀλιτρὸν
θυμὸν ἔχει· πάντως δ' ἐς τέλος ἐξεφάνη.
ἀλλ' ὁ μὲν αὐτίκ' ἔτισεν, ὁ δ' ὕστερον· ἢν δὲ φύγωσιν
αὐτοί, μηδὲ θεῶν Μοῖρ' ἐπιοῦσα κίχῃ,
ἤλυθε πάντως, αὖτις ἀναίτιοι ἔργα τίνουσιν
ἢ παῖδες τούτων ἢ γένος ἐξοπίσω.
Solon. V, 25.
Μίμνει δὲ μίμνοντος ἐν χρόνῳ Διός,
παθεῖν τὸν ἔρξαντα.
Aeschyl. Ag. 1585.
Δεινόν γε τοὺς μὲν δυσσεβεῖς κακῶν ἄπο
βλαστόντας, εἶτα τούςδε μὲν πράσσειν καλῶς·
τοὺς δ' ὄντας ἐσθλοὺς ἔκ τε γενναίων ἅμα
γεγῶτας εἶτα δυςτυχεῖς πεφυκέναι.
οὐ χρῆν τάδ' οὕτω δαίμονας θνητῶν πέρι
πράσσειν. ἐχρῆν γὰρ τοὺς μὲν εὐσεβεῖς βροτῶν
ἔχειν τι κέρδος ἐμφανὲς θεῶν πάρα·
τοὺς δ' ὄντας ἀδίκους, τούςδε τὴν ἐναντίαν
δίκην κακῶν τιμωρὸν ἐμφανῆ τίνειν.
κοὐδεὶς ἂν οὕτως εὐτύχει κακὸς γεγώς.
Sophocl. Alet.
Τὰ τῶν τεκόντων σφάλματ' εἰς τοὺς ἐκγόνους
θεοὶ τρέπουσι.
Eurip. Alcmaeon. 7. cf. Plutarch. S. N. V. 12.
Φησίν τις, εἶναι δῆτ' ἐν οὐρανῷ θεούς;
οὐκ εἰσίν, οὐκ εἴσ'. εἴ τις ἀνθρώπων λέγει,
μὴ τῷ παλαιῷ μωρὸς ὢν χρήσθω λόγῳ.
σκέψασθε δ' αὐτά, μὴ 'πὶ τοῖς ἐμοῖς λόγοις
γνώμην ἔχοντες. φημ' ἐγώ, τυραννίδα
κτείνειν τε πολλούς, κτημάτων τ' ἀποστερεῖν,
ὅρκους τε παραβαίνοντας, ἐκπορθεῖν πόλεις.
καὶ ταῦτα δρῶντες μᾶλλόν εἰσ' εὐδαίμονες
τῶν εὐσεβούντων ἡσυχῇ καθ' ἡμέραν.
πόλεις τε μικρὰς οἶδα τιμώσας θεούς,
αἳ μειζόνων κλύουσι δυσσεβεστέρων,
λόγχης ἀριθμῷ πλείονος κρατούμεναι κ. τ. λ.
Eurip. Belleroph. 25.
Ego deum genus esse semper dixi et dicam coelitum;
sed eos non curare opinor, quid agat humanum genus.
nam si curent, bene bonis sit, male malis, quod nunc abest.
Ennius p. 224 Hessel.

αὐτὸν ἔπειτα πάλιν τῖσαι κακά, μηδέ τ' ὀπίσσω 735
πατρὸς ἀτασθαλίαι παισὶ γένοιντο κακόν·
175 *παῖδας δ', οἵ τ' ἀδίκου πατρὸς τὰ δίκαια νοεῦντες*
ποιῶσιν, Κρονίδη, σὸν χόλον ἁζόμενοι,
ἐξ ἀρχῆς τὰ δίκαια μετ' ἀστοῖσιν φιλέοντες,
μή τιν' ὑπερβασίην ἀντιτίνειν πατέρων. 740
ταῦτ' εἴη μακάρεσσι θεοῖς φίλα. νῦν δ' ὁ μὲν ἔρδων
180 *ἐκφεύγει, τὸ κακὸν δ' ἄλλος ἔπειτα φέρει.*
καὶ τοῦτ', ἀθανάτων βασιλεῦ, πῶς ἐστὶ δίκαιον,
ἔργων ὅς τις ἀνὴρ ἐκτὸς ἐὼν ἀδίκων,
μή τιν' ὑπερβασίην κατέχων μηδ' ὅρκον ἀλιτρόν, 745
ἀλλὰ δίκαιος ἐών, μὴ τὰ δίκαια πάθῃ;
185 *τίς δή κεν βροτὸς ἄλλος, ὁρῶν πρὸς τοῦτον, ἔπειτα*
ἅζοιτ' ἀθανάτους; καὶ τίνα θυμὸν ἔχων,
ὁππότ' ἀνὴρ ἄδικος καὶ ἀτάσθαλος, οὔ τέ τι ἀνδρῶν
οὔ τέ τι ἀθανάτων μῆνιν ἀλευόμενος, 750
ὑβρίζῃ πλούτῳ κεκορημένος, οἱ δὲ δίκαιοι
190 *τρύχωνται, χαλεπῇ τειρόμενοι πενίῃ;*

Μηδένα πω κακότητι βιάζεο. τῷ δὲ δικαίῳ 547
τῆς εὐεργεσίης οὐδὲν ἀρειότερον.

Οὐ χρὴ πημαίνειν, ὅ τι μὴ πημαντέον εἴη·
οὐδ' ἔρδειν, ὅ τι μὴ λώϊον ᾖ τελέσαι. 690

195 *Εὖ ἔρδων εὖ πάσχε. τί κ' ἄγγελον ἄλλον ἰάλλοις;* 573
τῆς εὐεργεσίης ῥηδίη ἀγγελίη.

---

191. *Οἷ αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχων.*
Hesiod. 267. Democrito Chio tribuit Aristot. Rhet. III, 9.
— *Ὄφρα γνῷς κατὰ θυμόν, ἀτὰρ εἴπησθα καὶ ἄλλῳ,*
ὡς κακοεργεσίης εὐεργεσίη μέγ' ἀμείνων.
Odyss. XXII, 373.
Βίᾳ μηδὲν πράττειν. Cleobulus. *Πείσας λάβε, μὴ βιασάμενος.* Bias. *Βίας μὴ ἔχου.* Sosiad. Sept. Sap. dict.

Εὖ μὲν κείμενον ἄνδρα κακῶς θέμεν εὐμαρές ἐστιν, 845
εὖ δὲ θέμεν τὸ κακῶς κείμενον ἀργαλέον.

Δειλοί τοι κακότητι ματαιότεροι νόον εἰσίν, 1025
200 τῶν δ' ἀγαθῶν αἰεὶ πρήξιες ἰθύτεραι.

Ῥηϊδίη τοι πρῆξις ἐν ἀνθρώποις κακότητος· 1027
τοῦ δ' ἀγαθοῦ χαλεπή, Κύρνε, πέλει παλάμη.

Οὐδέν, Κύρν', ὀργῆς ἀδικώτερον, ἣ τὸν ἔχοντα 1223
πημαίνει, θυμῷ δειλὰ χαριζομένη.

205 Ἴσχε νόον, γλώσσῃ δὲ τὸ μείλιχον αἰὲν ἐπέστω· 365
δειλῶν τοι τελέθει καρδίη ὀξυτέρη.

Μή τέ τινα ξείνων δηλεύμενος ἔργμασι λυγροῖς,
μή τέ τιν' ἐνδήμων, ἀλλὰ δίκαιος ἐὼν
τὴν σαυτοῦ φρένα τέρπε. δυςηλεγέων δὲ πολιτῶν 795
210 ἄλλος τίς σε κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

Τοὺς ἀγαθοὺς ἄλλος μάλα μέμφεται, ἄλλος ἐπαινεῖ· 797
τῶν δὲ κακῶν μνήμη γίγνεται οὐδεμία.

Ἀνθρώπων δ' ἄψεκτος ἐπὶ χθονὶ γίγνεται οὐδείς·
ἀλλ' ὡς λώϊον, οὗ μὴ πλεόνεσσι μέλει. 800

215 Οὐδεὶς ἀνθρώπων οὔτ' ἔσσεται οὔτε πέφυκεν, 801
ὅς τις πᾶσιν ἁδὼν δύσεται εἰς Ἀΐδεω.
οὐδὲ γὰρ ὃς θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει,
Ζεὺς Κρονίδης, θνητοῖς πᾶσιν ἁδεῖν δύναται.

Τόρνου καὶ στάθμης καὶ γνώμονος ἄνδρα θεωρὸν 805
220 εὐθύτερον χρή μιν, Κύρνε, φυλασσέμεναι,

---

197. Ῥάδιον μὲν γὰρ πόλιν σεῖσαι καὶ ἀφαυροτέροις·
ἀλλ' ἐπὶ χώρας αὖτις ἔσσαι δυςπαλὲς δὴ γίγνεται.
Pind. P. IV, 485.

205. Νομιζέσθω δὲ πολίτης ἀμείνων ὁ τῆς ὀργῆς κρείττων, μᾶλλον τοῦ διὰ ταύτην πλημμελοῦντος. Charondas ap. Stob. S. 42.

215. Πάμπαν δ' ἄμωμος οὔτις, οὐδ' ἀκήριος.
Simonides.

ᾧ τινί κεν Πυθῶνι θεοῦ χρήσασ' ἱέρεια
 ὀμφὴν σημήνῃ πίονος ἐξ ἀδύτου.
οὔ τέ τι γὰρ προςθεὶς οὐδέν κ' ἔτι φάρμακον εὕροις,
 οὔ τ' ἀφελὼν πρὸς θεῶν ἀμπλακίην προφύγοις. 810

225 Οὐδένα, Κύρν', αὐγαὶ φαεσιμβρότου ἠελίοιο 1185
 ἄνδρ' ἐφορῶσ', ᾧ μὴ μῶμος ἐπικρέμαται.

Χρή με παρὰ στάθμην καὶ γνώμονα τήνδε δικάσσαι,
 Κύρνε, δίκην, ἶσόν τ' ἀμφοτέροισι δόμεν,
μάντεσιν οἰωνοῖς τε καὶ αἰθομένοις ἱεροῖσιν, 545
230 ὄφρα μὴ ἀμπλακίης αἰσχρὸν ὄνειδος ἔχω.

Οὐδέν, Κύρν', ἀγαθῆς γλυκερώτερόν ἐστι γυναικός. 1225
 μάρτυς ἐγώ, σὺ δ' ἐμοὶ γίγνου ἀληθοσύνης.

Ἐχθαίρω δὲ γυναῖκα περίδρομον ἄνδρα τε μάργον, 581
 ὃς τὴν ἀλλοτρίην βούλετ' ἄρουραν ἀροῦν.

235 Οὔ τοι σύμφορόν ἐστι γυνὴ νέα ἀνδρὶ γέροντι·
 οὐ γὰρ πηδαλίῳ πείθεται ὥςτ' ἄκατος,

---

227. *Μαντικὴν μὴ ἐχθαίρειν.* Chilo. *Χρῶ τοῖς θεοῖς.* Solon. *Χρησμοὺς θαύμαζε.* Sosiad. septem Sap. dicta.

231. — *Οὐ μὲν γὰρ τοῦγε κρεῖσσον καὶ ἄρειον,*
ἢ ὅθ' ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον
ἀνὴρ ἠδὲ γυνή· πόλλ' ἄλγεα δυςμενέεσσι,
χάρματα δ' εὐμενέτῃσι· μάλιστα δέ τ' ἔκλυον αὐτοί.
Odyss. VI, 182.

Οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ ληΐζετ' ἄμεινον
τῆς ἀγαθῆς· τῆς δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο κ. τ. λ.
Hesiod. 704.

Γυναικὸς οὐδὲν χρῆμ' ἀνὴρ ληΐζεται
ἐσθλῆς ἄμεινον, οὐδὲ ῥίγιον κακῆς.
Simonides.

οὐδ' ἄγκυραι ἔχουσιν· ἀποῤῥήξασα δὲ δεσμά,
πολλάκις ἐκ νυκτῶν ἄλλον ἔχει λιμένα. 460

Πικρὸς καὶ γλυκὺς ἴσθι καὶ ἀργαλέος καὶ ἀπηνὴς 301
240 λάτρισι καὶ δμωσὶν γείτοσί τ' ἀγχιθύροις.

Φείδεσθαι μὲν ἄμεινον, ἐπεὶ οὐδὲ θανόντ' ἀποκλαίει 931
οὐδείς, ἢν μὴ ὁρᾷ χρήματα λειπόμενα.

Ἴσως τοι τὰ μὲν ἄλλα θεοὶ θνητοῖς ἀνθρώποις,
γῆρύς τ' οὐλόμενον καὶ νεότητ' ἔδοσαν.
245 τῶν πάντων δὲ κάκιστον ἐν ἀνθρώποις, θανάτου τε
καὶ πασέων νούσων ἐστὶ πονηρότατον,
παῖδας ἐπεὶ θρέψαιο καὶ ἄρμενα πάντα παράσχῃς, 275
χρήματα δ' ἐγκαταθῇς, πόλλ' ἀνιηρὰ παθών,
τὸν πατέρ' ἐχθαίρουσι, καταρῶνται δ' ἀπολέσθαι,
250 καὶ στυγέουσ' ὥςπερ πτωχὸν ἐςερχόμενον.

Οἱ κακοὶ οὐ πάντως κακοὶ ἐκ γαστρὸς γεγόνασιν, 305
ἀλλ' ἄνδρεσσι κακοῖς συνθέμενοι φιλίην,
ἔργα τε δείλ' ἔμαθον καὶ ἔπη δύςφημα καὶ ὕβριν,
ἐλπόμενοι κείνους πάντα λέγειν ἔτυμα.

255 Φῦσαι καὶ θρέψαι ῥᾷον βροτόν, ἢ φρένας ἐσθλὰς
ἐνθέμεν· οὐδείς πω τοῦτό γ' ἐπεφράσατο, 430
ὅς τις σώφρον' ἔθηκε τὸν ἄφρονα, καὶ κακὸν ἐσθλόν.
εἰ δ' Ἀσκληπιάδαις τοῦτό γ' ἔδωκε θεός,
ἰᾶσθαι κακότητα καὶ ἀτηρὰς φρένας ἀνδρῶν,
260 πολλοὺς ἂν μισθοὺς καὶ μεγάλους ἔφερον.

---

239. *Μήτε κακὴ δμώεσσι τεοῖς ἔσο· μήτε μάλ' ἐσθλὴ
φαίνεο· ῥηΐτεραι γὰρ ἀεί που πῆμα φέρονται.*
Naumach. 48.
Τοῖς σεαυτοῦ πρᾶος ἴσθι. Solon. *Τραχὺς ὢν ἥσυχον σεαυτὸν πάρεχε, ὅπως σε αἰσχύνωνται μᾶλλον ἢ φοβῶνται.* Chilo. *Μήτε εὐήθης ἴσθι, μήτε κακοήθης.* Bias.

241. *Φειδόμενον κρεῖττον ἀποθανεῖν ἢ ζῶντα ἐνδεῖσθαι.* Periander. *Φειδόμενος μὴ λεῖπε.* Sosiad. Sept. Sap. dict.

Εἰ δ' ἦν ποιητόν τε καὶ ἔνθετον ἀνδρὶ νόημα, 435
οὔ ποτ' ἂν ἐξ ἀγαθοῦ πατρὸς ἔγεντο κακός,
πειθόμενος μύθοισι σαόφροσιν· ἀλλὰ διδάσκων
οὔ ποτε ποιήσεις τὸν κακὸν ἄνδρ' ἀγαθόν.

265 *Κεκλῆσθαι δ' ἐς δαῖτα, παρέζεσθαι δὲ παρ' ἐσθλὸν*
ἄνδρα χρεών, σοφίην πᾶσαν ἐπιστάμενον.
τοῦ συνιεῖν, ὁπόταν τι λέγῃ σοφόν, ὄφρα διδαχθῇς, 565
καὶ τοῦτ' εἰς οἶκον κέρδος ἔχων ἀπίῃς.

Ἐν μὲν συσσίτοισιν ἀνὴρ πεπνυμένος ἴσθι,
270 *πάντα δέ μιν λήθειν ὡς ἀπεόντα δοκεῖ.* 310
εἰς δὲ φέροι τὰ γελοῖα, θύρηφι δὲ καρτερὸς εἴη,
γιγνώσκων ὀργήν, ἥν τιν' ἕκαστος ἔχει.

Κωτίλῳ ἀνθρώπῳ σιγᾶν χαλεπώτατον ἄχθος, 295
φθεγγόμενος δ' ἀδαής, οἷσι παρῇ, μέλεται.
275 *ἐχθαίρουσι δὲ πάντες, ἀναγκαίη δ' ἐπίμιξις*
ἀνδρὸς τοιούτου συμποσίῳ τελέθει.

Πῖν', ὁπόταν πίνωσιν. ὅταν δέ τι θυμὸν ἀσηθῇς,
μηδεὶς ἀνθρώπων γνῷ σε βαρυνόμενον. 990

Οἶνος ἐμοὶ τὰ μὲν ἄλλα χαρίζεται, ἓν δ' ἀχάριστος, 841
280 *εὖτ' ἂν θωρήξας μ' ἄνδρα πρὸς ἐχθρὸν ἄγῃ.*

Αἰσχρόν τοι μεθύοντα παρ' ἀνδράσι νήφοσιν εἶναι· 627
αἰσχρὸν δ' εἰ νήφων πὰρ μεθύουσι μένῃ.

---

270. *Γλώττης κρατεῖν, καὶ μάλιστα ἐν συμποσίῳ.* Chilo.
277. *Ἔτι γὰρ οὖν εἴπωμεν πλείω περὶ ἁπάσης μέθης· οὐ γὰρ σμικρόν ἐστι τὸ ἐπιτήδευμα, οὐδὲ φαύλου διαγνῶναι νομοθέτου.* Plat. Leg. I. p. 637. cf. p. 649. II. p. 673 s.
Πίνων, μὴ πολλὰ λάλει, ἁμαρτήσεις γάρ. Chilo.
279. *Οὐ φίλος, ὃς κρατῆρι παρὰ πλέῳ οἰνοποτάζων*
νείκεα καὶ πόλεμον δακρυόεντα λέγει·
ἀλλ' ὅςτις Μουσέων τε καὶ ἀγλαὰ δῶρ' Ἀφροδίτης
συμμίσγων, ἐρατῆς μνήσκεται εὐφροσύνης.
Anacreon.
281. *Ἐν πᾶσιν μεθύουσιν Ἀκίνδυνος ἤθελε νήφειν,*
τοὔνεκα καὶ μεθύειν αὐτὸς ἔδοξε μόνος.
Lucianus ep. 16.

Ὦ παῖ, μὴ κώμαζε, γέροντι δὲ πείθεο ἀνδρί· 1351
οὔ τοι κωμάζειν σύμφορον ἀνδρὶ νέῳ.

285 Ἄφρονος ἀνδρὸς ὁμῶς καὶ σώφρονος οἶνος, ὅταν δὴ 497
πίνῃ ὑπὲρ μέτρον, κοῦφον ἔθηκε νόον.

Ἐν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες
γιγνώσκουσ', ἀνδρὸς δ' οἶνος ἔδειξε νόον,
καὶ μάλα περ πινυτοῦ, τὸν ὑπὲρ μέτρον ἤρατο πίνω.
290 ὥςτε καταισχῦναι καὶ πρὶν ἐόντα σοφόν.

Οἶνος πινόμενος πουλὺς κακόν. ἢν δέ τις αὐτὸν
πίνῃ ἐπισταμένως, οὐ κακόν, ἀλλ' ἀγαθόν.

Οἶνόν τοι πίνειν πουλὺν κακόν. ἢν δέ τις αὐτὸν 211
πίνῃ ἐπισταμένως, οὐ κακός, ἀλλ' ἀγαθὸς.

295 Οἶνε, τὰ μέν σ' αἰνῶ, τὰ δὲ μέμφομαι· οὐδέ σε πάμπαν
οὔ τέ ποτ' ἐχθαίρειν οὔ τε φιλεῖν δύναμαι.

---

285. *Πιτταχὸς Περιάνδρῳ τῷ Κορινθίῳ παρῄνει μὴ μεθύσκεσθαι μηδὲ κωμάζειν.* Athen. X p. 427.

287. *Οἶνος γὰρ ἀνθρώποις δίοπτρον.*
Alcaeus fr. 16.
Κάτοπτρον εἴδους χαλκός ἐστ', οἶνος δὲ νοῦ.
Aeschyl. fr. 13.
Οἶνος, ὦ φίλε παῖ, λέγεται καὶ ἀλάθεα.
Theocrit. XXIX, 1.
Ἴων ἀγαθῶν βασιλεὺς οἶνος ἔδειξε φύσιν.
Ion Chius ap. Athen. X p. 447.
Δοκίμαζε τοὺς φίλους ἔκ τε τῆς περὶ τὸν βίον ἀτυχίας, καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας. τὸ μὲν γὰρ χρυσίον ἐν τῷ πυρὶ δοκιμάζομεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγινώσκομεν. Isocr. ad Demon. pag. 12.

291. *Οἶνός σε τρώει μελιηδής, ὅςτε καὶ ἄλλους
βλάπτει, ὃς ἄν μιν χανδὸν ἕλῃ μηδ' αἴσιμα πίνῃ.*
Odyss. XXI, 293.
Ἀνδρὶ δὲ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει.
Iliad. VI, 261.
*Οἷα Διώνυσος δῶκ' ἀνδράσι χάρμα καὶ ἄχθος,
ὅςτις ἄδην πίνει, οἶνος δέ οἱ ἔπλετο μάργος,
σὺν δὲ πόδας χεῖράς τε δέει, γλῶσσάν τε νόον τε
δεσμοῖς ἀφράστοισι· φιλεῖ δέ ἑ μαλθακὸς ὕπνος.*
Hesiod. in Eoeis ap. Athen. X. p. 428. Primus v. etiam in Scut. H. 400.

ἐσθλὸν καὶ κακόν ἐασι. τίς ἄν σέ γε μωμήσαιτο; 875
τίς δ' ἂν ἐπαινήσαι, μέτρον ἔχων σοφίης;

Δισσαί τοι πόσιος κῆρες δειλοῖσι βροτοῖσιν,
300 δίψα τε λυσιμελὴς καὶ μέθυσις χαλεπή.
τούτων δ' ἂν τὸ μέσον στρωφήσομαι, οὐδέ με πείσεις
οὔ τέ τι μὴ πίνειν οὔτε λίην μεθύειν. 840

Αὐτὰρ ἐγώ — μέτρον γὰρ ἔχω μελιηδέος οἴνου — 475
ὕπνου λυσικάκου μνήσομαι οἴκαδ' ἰών.

305 Δείξω δ' ὡς οἶνος χαριέστατος ἀνδρὶ πεπόσθαι·
οὔ τέ τι γὰρ νήφω οὔτε λίην μεθύω.
ὃς δ' ἂν ὑπερβάλλῃ πόσιος μέτρον, οὐκέτι κεῖνος
τῆς αὐτοῦ γλώσσης καρτερὸς οὐδὲ νόου· 480

---

303. Ἀλλὰ, πέπον, μέτρον γὰρ ἔχεις γλυκεροῖο ποτοῖο,
στεῖχε παρὰ μνηστὴν ἄλοχον, κοίμιζε δ' ἑταίρους·
δείδια γάρ, τριτάτης μοίρης μελιηδέος οἴνου
πινομένης, μή σ' ὕβρις ἐνὶ φρεσὶ θυμὸν ἀέρσῃ,
ἐσθλοῖς τε ξενίοισι κακὴν θήσειε τελευτήν.
ἀλλ' ἄπιθι καὶ παῦε πολὺν πότον.
Panyasis ap. Athen. II, p. 36.

305. Οὐχ ὕβρις πίνειν δ' ὁπόσον κεν ἑλὼν ἀφίκοιο
οἴκαδ' ἄνευ προπόλου, μὴ πάνυ γηραλέος.
ἀνδρῶν δ' αἰνεῖν τοῦτον, ὃς ἐσθλὰ πιὼν ἀναφαίνει,
ὡς οἱ μνημοσύνη, καὶ τὸν ὃς ἀμφ' ἀρετῆς.
οὔ τι μάχας διέπειν Τιτήνων, οὐδὲ Γιγάντων,
οὐδέ τε Κενταύρων, πλάσματα τῶν προτέρων,
ἀσπασίας φλεδόνας, τοῖς οὐδὲν χρηστὸν ἔνεστι,
τῶν δὲ προμηθείην αἰὲν ἔχειν ἀγαθῶν.
Xenophanes ap. Athen. XI, p. 462.

Οἶνος δὲ θνητοῖσι θεῶν πάρα δῶρον ἄριστον,
ἀγλαός, ᾧ πᾶσαι μὲν ἐφαρμόζουσιν ἀοιδαί,
πάντες δ' ὀρχηθμοί, πᾶσαι δ' ἐραταὶ φιλότητες·
πάσας δ' ἐκ κραδίης ἀνδρῶν ἀλαπάζει ἀνίας
πινόμενος κατὰ μέτρον· ὑπὲρ μέτρον δὲ χερείων.
Panyasis ap. Athen. II, p. 37.

Βάκχου μέτρων ἄριστον, ὃ μὴ πολὺ μηδ' ἐλάχιστον·
ἔστι γὰρ ἢ λύπης αἴτιος ἢ μανίης κ. τ. λ.
Euenus.

Οἱ Λακεδαιμονίων δὲ κόροι πίνουσι τοσοῦτον,
ὥστε φρέν' εἰς ἱλαρὰν ἀσπίδα πάντ' ἀπάγειν,
εἴς τε φιλοφροσύνην γλῶτταν μέτριόν τε γέλωτα.
τοιαύτη δὲ πόσις σώματι τ' ὠφέλιμος,
γνώμῃ τε κτήσει τε κ. τ. λ.
Critias ap. Athen. X, p. 432.

μυθεῖται δ' ἀπάλαμνα, τὰ νήφοσι γίγνεται αἰσχρά·
310 *αἰδεῖται δ' ἔρδων οὐδέν, ὅταν μεθύῃ,*
τὸ πρὶν ἐὼν σώφρων, τότε νήπιος. ἀλλὰ σὺ ταῦτα
γιγνώσκων, μὴ πῖν' οἶνον ὑπερβολάδην,
ἀλλ' ἢ πρὶν μεθύειν ὑπανίστασο, μή σε βιάσθω 485
γαστὴρ ὥςτε κακὸν λάτριν ἐφημέριον,
315 *ἢ παρεὼν μὴ πῖνε. σὺ δ' Ἔγχεε τοῦτο μάταιον*
κωτίλλεις αἰεί· τοὔνεκά τοι μεθύεις.
ἡ μὲν γὰρ φέρεται φιλοτήσιος, ἡ δὲ πρόκειται,
τὴν δὲ θεοῖς σπένδεις, τὴν δ' ἐπὶ χειρὸς ἔχεις.
ἀρνεῖσθαι δ' οὐκ οἶδας. ἀνίκητος δέ τοι οὗτος,
320 *ὃς πολλὰς πίνων μή τι μάταιον ἐρεῖ.*

Τίς δ' ἀρετὴ πίνοντ' ἐπιοίνιον ἆθλον ἑλέσθαι; 971
πολλάκι τοι νικᾷ καὶ κακὸς ἄνδρ' ἀγαθόν.

Μή ποτε τὸν κακὸν ἄνδρα φίλον ποιεῖσθαι ἑταῖρον, 113
ἀλλ' αἰεὶ φεύγειν ὥςτε κακὸν λιμένα.

325 *Μηδείς σ' ἀνθρώπων πείσῃ κακὸν ἄνδρα φιλῆσαι,* 101
Κύρνε· τί δ' ἔστ' ὄφελος δειλὸς ἀνὴρ φίλος ὤν;
οὔ τ' ἄν σ' ἐκ χαλεποῖο πόνου ῥύσαιτο καὶ ἄτης,
οὔ τέ κεν ἐσθλὸν ἔχων τοῦ μεταδοῦν' ἐθέλοι.

Δειλοὺς δ' εὖ ἔρδοντι ματαιοτάτη χάρις ἐστίν· 105
330 *ἶσον καὶ σπείρειν πόντον ἁλὸς πολιῆς.*

---

321. *Ξεῖν' ἄγε δὴ καὶ πῖν'· ἀρετή νύ τις ἔστι καὶ αὕτη,*
ὅς κ' ἀνδρῶν πολὺ πλεῖστον ἐν εἰλαπίνῃ μέθυ πίνῃ
εὖ καὶ ἐπισταμένως, ἅμα τ' ἄλλον φῶτα κελεύῃ κ. τ. λ.
Panyasis ap. Stob. 18.

325. *Ἀδμήτου λόγον, ὦ 'ταῖρε, μαθών, τοὺς ἀγαθοὺς φίλει,*
τῶν δειλῶν δ' ἀπέχου, γνοὺς ὅτι δειλοῖς ὀλίγη χάρις.
Scol. 14.

330. *Μὴ κακὸν εὖ ἔρξῃς· σπείρειν ἶσον ἔστ' ἐνὶ πόντῳ.*
Pseudophocyl. 141.

οὔτε γὰρ ἂν πόντον σπείρων βαθὺ λήϊον ἀμῷς,
οὔτε κακοὺς εὖ δρῶν εὖ πάλιν ἀντιλάβοις.
ἄπληστον γὰρ ἔχουσι κακοὶ νόον. ἢν δ' ἓν ἁμάρτῃς,
τῶν πρόσθεν πάντων ἐκκέχυται φιλότης. 110
335 οἱ δ' ἀγαθοὶ τὸ μέγιστον ἐπαυρίσκουσι παθόντες,
μνῆμα δ' ἔχουσ' ἀγαθῶν καὶ χάριν ἐξοπίσω.

Δειλοὺς εὖ ἔρδοντι δύω κακά· τῶν τε γὰρ αὐτοῦ 955
χήρωσις κτεάνων, καὶ χάρις οὐδεμία.

Ἤιδεα μὲν καὶ πρόσθεν, ἀτὰρ πολὺ λώϊον ἤδη, 853
340 οὕνεκα τοῖς δειλοῖς οὐδεμί' ἔστι χάρις.

Εἴ τι παθὼν ἀπ' ἐμεῦ ἀγαθὸν μέγα μὴ χάριν οἶδας, 957
χρήζων ἡμετέρους αὖτις ἵκοιο δόμους.

Τοῖς ἀγαθοῖς σύμμισγε, κακοῖσι δὲ μή ποθ' ὁμάρτει, 1165
εὖτ' ἂν ὁδοῦ τελέῃς τέρματ' ἐπ' ἐμπορίην.

345 Τῶν ἀγαθῶν ἀγαθὴ μὲν ἀπόκρισις, ἐσθλὰ δὲ ἔργα· 1167
τῶν δὲ κακῶν ἄνεμοι δειλὰ φέρουσιν ἔπη.

Μή ποτε, Κύρνε, κακῷ πίσυνος βούλευε σὺν ἀνδρί,
εὖτ' ἂν σπουδαῖον πρῆγμ' ἐθέλῃς τελέσαι, 70
ἀλλὰ μετ' ἐσθλὸν ἰὼν βουλεύεο πολλὰ μογήσας
350 καὶ μακρὴν ποσσίν, Κύρν', ὁδὸν ἐκτελέσας.

Πρῆξιν μηδὲ φίλοισιν ὅλως ἀνακοινέο πᾶσιν·
παῦροί τοι πολλῶν πιστὸν ἔχουσι νόον.

Παύροισιν πίσυνος μεγάλ' ἀνδράσιν ἔργ' ἐπιχείρει, 75
μή ποτ' ἀνήκεστον, Κύρνε, λάβῃς ἀνίην.

355 Πιστὸς ἀνὴρ χρυσοῦ τε καὶ ἀργύρου ἀντερύσασθαι 77
ἄξιος ἐν χαλεπῇ, Κύρνε, διχοστασίῃ.

---

355. *Μὴ πᾶσι πίστευε.* Cleobulus.

Οὐδενὸς ἀνθρώπων κακίων δοκεῖ εἶναι ἑταῖρος, 411
ᾧ γνώμη θ' ἕπεται, Κύρνε, καὶ ᾧ δύναμις.

Μή ποτ' ἐπαινήσῃς, πρὶν ἂν εἰδῇς ἄνδρα σαφηνῶς,
360 ὀργὴν καὶ ῥυθμὸν καὶ τρόπον ὅς τις ἂν ᾖ.
πολλοί τοι κίβδηλον ἐπίκλοπον ἦθος ἔχοντες, 965
κρύπτουσ', ἐνθέμενοι θυμὸν ἐφημέριον.
τούτων δ' ἐκφαίνει πάντως χρόνος ἦθος ἑκάστου.
καὶ γὰρ ἐγὼ γνώμης πολλὸν ἄρ' ἐκτὸς ἔβην.
365 ἔφθην αἰνήσας, πρίν σου κατὰ πάντα δαῆναι
ἤθεα· νῦν δ' ἤδη νηῦς ἅθ' ἑκὰς διέχω. 970

Κιβδήλου δ' ἀνδρὸς γνῶναι χαλεπώτερον οὐδέν, 117
Κύρν', οὐδ' εὐλαβίης ἐστὶ περὶ πλέονος.

Χρυσοῦ κιβδήλοιο καὶ ἀργύρου ἄνσχετος ἄτη,
370 Κύρνε, καὶ ἐξευρεῖν ῥάδιον ἀνδρὶ σοφῷ. 120
εἰ δὲ φίλου νόος ἀνδρὸς ἐνὶ στήθεσσι λελήθῃ
ψυδρὸς ἐών, δόλιον δ' ἐν φρεσὶν ἦτορ ἔχῃ,
τοῦτο θεὸς κιβδηλότατον ποίησε βροτοῖσιν,
καὶ γνῶναι πάντων τοῦτ' ἀνιηρότατον.
375 οὐ γὰρ ἂν εἰδείης ἀνδρὸς νόον οὐδὲ γυναικός, 125
πρὶν πειρηθείης ὥςπερ ὑποζυγίου·

---

357. — Ἐπεὶ οὐ μέν τι κασιγνήτοιο χερείων
γίγνεται, ὅς κεν ἑταῖρος ἐὼν πεπνυμένα εἰδῇ.
Odyss. VIII, 585.
— Ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου.
Iliad. XI, 793. XV, 404.
369. Θεστορίδη, θνητοῖσιν ἀνωΐστων πολέων περ,
οὐδὲν ἀφραστότερον πέλεται νόου ἀνθρώποισιν.
Homer. ep. 6.
Εἴθ' ἐξῆν, ὁποῖός τις ἦν ἕκαστος,
τὸ στῆθος διελόντ', ἔπειτα τὸν νοῦν
ἐσιδόντα κλείσαντα πάλιν
ἄνδρα φίλον νομίζειν ἀδόλῳ φρενί.
Scol. 6.
Ἡγοῦμαι σοφίας εἶναι μέρος οὐκ ἐλάχιστον
ὀρθῶς γιγνώσκειν, οἷος ἕκαστος ἀνήρ.
Zeni (num Zenodoti?) ap. Gaisf. in Append.
ad Stob. p. 10.

οὐδέ κεν εἰκάσσαις ὥς πέρ ποτ' ἐς ὥριον ἐλθών·
πολλάκι γὰρ γνώμην ἐξαπατῶσ' ἰδέαι.

Δόξα μὲν ἀνθρώποισι κακὸν μέγα, πεῖρα δ' ἄριστον· 571
580 πολλοὶ ἀπείρητοι δόξαν ἔχουσ' ἀγαθῶν.

Οὔ τοί κ' εἰδείης οὔτ' εὔνουν οὔτε τὸν ἐχθρόν, 641
εἰ μὴ σπουδαίου πρήγματος ἀντιτύχοις.

Πολλοὶ πὰρ κρητῆρι φίλοι γίγνονται ἑταῖροι, 643
ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι.

585 Πολλοί τοι πόσιος καὶ βρώσιός εἰσιν ἑταῖροι, 115
ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι.

Παύρους κηδεμόνας πιστοὺς εὕροις κεν ἑταίρους, 645
κείμενος ἐν μεγάλῃ θυμὸν ἀμηχανίῃ.

Οὐδεὶς δὴ φίλος εἶναι, ἐπὴν κακὸν ἀνδρὶ γένηται,
590 οὐδ' ἣν ἐκ γαστρός, Κύρνε, μιῆς γεγόνῃ. 300

Τῶν δὲ φίλων εἰ μέν τις ὁρᾷ μέ τι δεινὸν ἔχοντα,
αὐχέν' ἀποστρέψας οὐδ' ἐσορᾷν ἐθέλει·
ἢν δέ τί μοί ποθεν ἐσθλόν, ἃ παυράκι γίγνεται ἀνδρί,
πολλοὺς ἀσπασμοὺς καὶ φιλότητας ἔχω. 860

595 Εὖ μὲν ἔχοντος ἐμοῦ πολλοὶ φίλοι· ἢν δέ τι δεινὸν
συγκύρσῃ, παῦροι πιστὸν ἔχουσι νόον. 697

Σύν τοι, Κύρνε, παθόντι κακῶς ἀνιώμεθα πάντες· 655
ἀλλά τοι ἀλλότριον κῆδος ἐφημέριον.

---

579. *Πεῖρά τοι μαθήσιος ἀρχά.* Alcm. fr. 59.
585. *Μηδὲ τραπεζοκόρους κόλακας ποιεῖσθαι ἑταίρους.*
πολλοὶ γὰρ πόσιος καὶ βρώσιός εἰσιν ἑταῖροι κ. τ. λ.
Pseudophocyl. 85.
Ἐπὶ τὰ δεῖπνα τῶν φίλων βραδέως πορεύου, ἐπὶ δὲ τὰς ἀτυχίας ταχέως. Chilo.
Φίλοις εὐτυχοῦσι καὶ ἀτυχοῦσιν ὁ αὐτὸς ἴσθι. Periander.
597. *Τῷ δυςπραγέοντι δ' ἐπιστενάχειν*

Μή μοι ἀνὴρ εἴη γλώσσῃ φίλος, ἀλλὰ καὶ ἔργῳ·
400 χερσίν τε σπεύδοι χρήμασί τ', ἀμφότερα· 80
μηδὲ παρὰ κρητῆρσι λόγοισιν ἐμὴν φρένα θέλγοι,
ἀλλ' ἔρδων φαίνοιτ', εἴ τι δύναιτ' ἀγαθόν.

Μή μ' ἔπεσιν μὲν στέργε, νόον δ' ἔχε καὶ φρένας ἄλλῃ, 87
εἴ με φιλεῖς καί σοι πιστὸς ἔνεστι νόος.

405 Ἤ με φίλει καθαρὸν θέμενος νόον, ἤ μ' ἀποειπὼν
ἔχθαιρ', ἀμφαδίην νεῖκος ἀειράμενος. 90
ὃς δὲ μιῇ γλώσσῃ δίχ' ἔχει νόον, οὗτος ἑταῖρος
δεινός, Κύρν', ἐχθρὸς βέλτερος ἢ φίλος ὤν.

Ἤν τις ἐπαινήσῃ σε τόσον χρόνον ὅσσον ὁρῴη,
410 νοσφισθεὶς δ' ἄλλῃ, γλῶσσαν ἵησι κακήν,
τοιοῦτός τοι ἑταῖρος ἀνὴρ φίλος οὔ τι μάλ' ἐσθλός, 95
ὅς κ' εἴπῃ γλώσσῃ λῷστα, φρονῇ δ' ἕτερα.

Ἀλλ' εἴη τοιοῦτος ἐμὸς φίλος, ὃς τὸν ἑταῖρον
γιγνώσκων ὀργὴν καὶ βαρὺν ὄντα φέρει,

πᾶς τις ἕτοιμος· δῆγμα δὲ λύπης
οὐδὲν ἐφ' ἧπαρ προσικνεῖται.
Aeschyl. Ag. 799.

— τὸ γὰρ οἰκεῖον πιέζει πάνθ' ὁμῶς·
εὐθὺς δ' ἀπήμων κραδία κᾶδος ἀμφ' ἀλλότριον.
Pind. N. I, 82.

407. Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν,
ὅς χ' ἕτερον μὲν κεύθει ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ.
Iliad. IX, 312.

— Πιστὸν γὰρ οὐδὲν γλῶσσα διὰ στόματος λαλέει,
διχόμυθον ἔχουσα καρδίῃ νόημα.
Scol. 30.

— Ὄφιν μὲν ἐν οὔρεσιν ἠδὲ λέοντα
θηρητὴρ αἴων τε καὶ εἰςορόων ἀλέοιτο·
γνωστὴ μὲν τούτων βουλή, γνωστὸν δὲ νόημα,
ἀνὴρ δ' ἄλλα κέκευθεν ἐνὶ φρεσίν, ἄλλα δὲ βάζει,
μῦθοι μὲν λεῖοι καὶ μείλιχοι, ἔχθρα δὲ ἔργα.
Ap. Themist. Or. p. 238.

Οὐδὲν ἐν ἀνθρώποισι φύσις χαλεπώτερον εὗρεν
ἀνθρώπου καθαρὰν ψευδομένου φιλίην·
οὐ γὰρ ἔθ' ὡς ἐχθρὸν προφυλασσόμεθ', ἀλλ' ἀγαπῶντες
ὡς φίλον, ἐν τούτῳ πλείονα βλαπτόμεθα.
Lucianus Anthol. Pal. p. 495. Cf. Lucillius p. 562 n. 390
et incertus poeta p. 506 n. 121.

415 ἀντὶ κασιγνήτου. σὺ δέ μοι, φίλε, ταῦτ' ἐνὶ θυμῷ
φράζεο, καί ποτέ μου μνήσεαι ἐξοπίσω. 100

Κύρνε, φίλους κάτα πάντας ἐπίστρεφε ποικίλον ἦθος,
ὀργὴν συμμίσγων ἥν τιν' ἕκαστος ἔχει.
πουλύπου ὀργὴν ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρῃ, 215
420 τῇ προσομιλήσῃ, τοῖος ἰδεῖν ἐφάνη.
νῦν μὲν τῇδ' ἐφέπου, τοτὲ δ' ἀλλοῖος χρόα γίγνου.
κρεῖσσόν τοι σοφίη γίγνεται ἀτροπίης.

Κύρνε, φίλους πρὸς πάντας ἐπίστρεφε ποικίλον ἦθος 1071
συμμίσγων ὀργὴν οἷος ἕκαστος ἔφυ.
425 νῦν μὲν τῷδ' ἐφέπου, τοτὲ δ' ἀλλοῖος πέλευ ὀργήν·
κρεῖσσόν τοι σοφίη καὶ μεγάλης ἀρετῆς.

Μή ποτε πὰρ κλαίοντα καθεζόμενοι γελάσωμεν, 1217
τοῖς αὐτῶν ἀγαθοῖς, Κύρν', ἐπιτερπόμενοι.

Ζεὺς ἄνδρ' ἐξολέσειεν Ὀλύμπιος, ὃς τὸν ἑταῖρον 851
430 μαλθακὰ κωτίλλων ἐξαπατᾶν ἐθέλει.

---

419. — Σὲ δὲ μή τι νόον κατελεγχέτω εἶδος.
Hesiod. 716.

Πουλύποδός μοι, τέκνον, ἔχων νόον, Ἀμφίλοχ' ἥρως,
τοῖσιν ἐφαρμόζου, ὧν ἂν κατὰ δῆμον ἵκηαι.
Amphiarai verba sunt ad filium Amphilochum ap. Athen. VII, p. 317 et paulo mutata ap. Antig. Caryst. 29, ex Thebaide fortasse servata, quae Boeckhii conjectura est ad Pind. fr. 173.

Ποντίου θηρὸς πετραίου χρωτὶ μάλιστα νόον
προσφέρων πάσαις πολίεσσιν ὁμίλει· τῷ παρεόντι δ' ἐπαινήσαις ἑκὼν
ἄλλοτ' ἀλλοῖα φρόνει.
Pind. fr. 173 Boeckh.

Νόει πρὸς ἀνδρὶ σῶμα πουλύπους ὅπως
πέτρᾳ τραπέσθαι γνησίου φρονήματος.
Sophocl. Iphig.

427. Ἀπραγοῦντα (l. κακοπραγοῦντα) μὴ ὀνείδιζε· ἐπὶ γὰρ τούτοις νέμεσις θεῶν κάθηται. Thales ap. Stob. 3. p. 46. Ἀτυχοῦντι μὴ ἐπιγέλα· κοινὴ γὰρ ἡ τύχη. Chilo ap. eund. 111, p. 583 et ap. Diog. L. Ἀτυχίαν μὴ ὀνειδίζειν νέμεσιν αἰδούμενον. Pittacus. Ἀτυχοῦντι συνάχθου. Sosiad. Sept. Sap. dict.

429. Μνῆμα τόδ' Ἱππάρχου, μὴ φίλον ἐξαπάτα.
Ap. Plat. Hipparch. p. 229.

Εὖ κώτιλλε τὸν ἐχθρόν· ὅταν δ' ὑποχείριος ἔλθῃ, 363
τῖσαί νιν, πρόφασιν μηδεμίαν θέμενος.

Ἄλλοτέ τοι πάσχων ἀνιήσεαι, ἄλλοτε δ' ἔρδων 991
χαιρήσεις· δύναται ἄλλοτε ἄλλος ἀνήρ.

435 Κύρνε, παροῦσι φίλοισι κακοῦ καταπαύσομεν ἀρχήν, 1133
ζητῶμεν δ' ἕλκει φάρμακα φυομένῳ.

Μή ποτε τὸν παρεόντα μεθεὶς φίλον, ἄλλον ἐρεύνα, 1151
δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.

---

431. *Μηδὲ ψεύδεσθαι γλώσσης χάριν· εἰ δὲ σέ γ' ἄρχῃ,*
ἤ τι ἔπος εἰπὼν ἀποθύμιον, ἠὲ καὶ ἔρξας·
δὶς τόσα τίννυσθαι μεμνημένος. εἰ δέ κεν αὖτις
ἡγῆτ' ἐς φιλότητα, δίκην δ' ἐθέλῃσι παρασχεῖν,
δέξασθαι· δειλός τοι ἀνὴρ φίλον ἄλλοτε ἄλλον
ποιεῖται· σὲ δὲ μή τι νόον κατελεγχέτω εἶδος.
Hesiod. 711.

Ἓν δ' ἐπίσταμαι μέγα
τὸν κακῶς τι δρῶντα ἀνταμείβεσθαι κακοῖς.
Archil. fr. 75.

Εἶναι δὲ γλυκὺν ὧδε φίλοις, ἐχθροῖσι δὲ πικρόν,
τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν.
Solon. V, 5.

Τὸν φίλον δεῖ εὐεργετεῖν, ὅπως ᾖ μᾶλλον φίλος, τὸν δὲ ἐχθρὸν φίλον ποιεῖν. Cleobulus. *Ἀδικούμενος διαλλάσσου· ὑβριζόμενος δὲ τιμωροῦ.* Chilo. *Ἐχθροὺς ἀμύνου. Ὕβριν ἀμύνου.* Sosiad. Septem Sap. dicta. *Ἔχθρας διάλυε* Id. *Λοιδόρει ὡς τάχυ φίλος ἐσόμενος.* Periander.

Ὁμοίως αἰσχρὸν νόμιζε, τῶν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιΐαις καὶ τῶν φίλων ἡττᾶσθαι ταῖς εὐεργεσίαις. Isocr. ad Demon. p. 12.

Οὐδαμῶς ἄρα δεῖ ἀδικεῖν. οὐδ' ἀδικούμενον ἄρα ἀνταδικεῖν δεῖ, ὡς οἱ πολλοὶ οἴονται, ἐπειδή γε οὐδαμῶς δεῖ ἀδικεῖν κ. τ. λ. Plat. Criton. c. 10. cf. de Rep. 1. p. 332. Men. p. 71. E. Musonius ap. Stob. 19. p. 170, alii ap. Hug. Grot. in Proleg. ad Stob. p. LII Gaisf.

433. *Ἀρχὴν ἰᾶσθαι πολὺ λώϊον ἠὲ τελευτήν.*
Ap. Suid. I, 344.

Ἀρχόμενον τὸ κακὸν κόπτειν ἕλκος τ' ἀκέσασθαι.
Pseudophocyl. 135.

Συνετῶν ἀνδρῶν ἐστι πρὶν γενέσθαι τὰ δυσχερῆ προνοῆσαι, ὅπως μὴ γένηται· ἀνδρείων δὲ γενόμενα εὖ θέσθαι. Pittacus.

437. *Φίλους μὴ ταχὺ κτῶ, οὓς δ' ἂν κτήσῃ, μὴ τάχυ ἀποδοκίμαζε.* Solon. *Μή σε διαβαλλέτω λόγος πρὸς τοὺς πίστεως κεκοινωνηκότας.* Pittacus.

Μή ποτ' ἐπὶ σμικρῇ προφάσει φίλον ἄνδρ' ἀπολέσσαι,
440 πειθόμενος χαλεπῇ, Κύρνε, διαβολίῃ.
εἴ τις ἁμαρτωλῇσι φίλων ἐπὶ παντὶ χολῷτο, 325
οὔ ποτ' ἂν ἀλλήλοις ἄρθμιοι οὐδὲ φίλοι
εἶεν. ἁμαρτωλαὶ γὰρ ἐν ἀνθρώποισιν ἕπονται
θνητοῖς, Κύρνε· θεοὶ δ' οὐκ ἐθέλουσι φέρειν.

445 Οὕτω χρὴ τόν γ' ἐσθλὸν ἐπιστρέψαντα νόημα 1083
ἔμπεδον αἰὲν ἔχειν ἐς τέλος ἀνδρὶ φίλῳ.

Μή ποτ' ἐπειγόμενος πρήξῃς κακόν, ἀλλὰ βαθείῃ 1051
σῇ φρενὶ βούλευσαι σῷ ἀγαθῷ τε νόῳ·
τῶν γὰρ μαινομένων πέτεται θυμός τε νόος τε,
450 βουλὴ δ' εἰς ἀγαθὸν καὶ νόον ἐσθλὸν ἄγει.

Ἥβη καὶ νεότης ἐπικουφίζει νόον ἀνδρός,
πολλῶν δ' ἐξαίρει θυμὸν ἐς ἀμπλακίην. 630

Ὧι τινὶ μὴ θυμοῦ κρέσσων νόος, αἰὲν ἐν ἄταις, 631
Κύρν', ὅγε καὶ μεγάλαις κεῖται ἐν ἀμπλακίαις.

---

447. Ἀλλ', Ἀχιλεῦ, δάμασον θυμὸν μέγαν· οὐδέ τί σε χρὴ
νηλεὲς ἦτορ ἔχειν· στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί.
Iliad. IX, 496.

451. Αἰεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται.
Iliad. III, 108.
Οἶσθ', οἷαι νέου ἀνδρὸς ὑπερβασίαι τελέθουσιν·
κραιπνότερος μὲν γάρ τε νόος, λεπτὴ δέ τε μῆτις.
Iliad. XXIII, 589.
Εἰς σὲ καὶ ἀψευδὴς ἐψεύσατο βίβλος Ὁμήρου,
ὁπλοτέρων ἐνέπουσα μετήορα δήνεα φωτῶν.
Anthol. Pal. p. 156. *)

453. Θυμοῦ κράτει. Chilo.

*) Locus Homeri deperditus: nam ad Iliad. III, 108. poetam spectare, non crediderim cum Heynio.

Βουλεύου δὶς καὶ τρίς, ὅ τοι κ' ἐπὶ τὸν νόον ἔλθῃ· 633
ἀτηρὸς γὰρ ἀεὶ λάβρος ἀνὴρ τελέθει.

Καὶ βραδὺς εὔβουλος εἷλεν ταχὺν ἄνδρα διώκων,
Κύρνε, σὺν εὐθείῃ θεῶν δίκῃ ἀθανάτων. 330

Πολλὰ φέρειν εἴωθε λόγος θνητοῖσι βροτοῖσιν 1221
460 πταίσματα, τῆς γνώμης, Κύρνε, ταρασσομένης.

Γνώμης δ' οὐδὲν ἄμεινον ἀνὴρ ἔχει αὐτὸς ἐν αὑτῷ, 895
οὐδ' ἀγνωμοσύνης, Κύρν', ἀνιηρότερον.

Ἀνδράσι τοῖς ἀγαθοῖς ἕπεται γνώμη τε καὶ αἰδώς, 635
οἳ νῦν ἐν πολλοῖς ἀτρεκέως ὀλίγοι.

465 Οὐδένα θησαυρὸν παισὶν καταθήσῃ ἀμείνω
αἰδοῦς, ἥ τ' ἀγαθοῖς ἀνδράσι, Κύρν', ἕπεται. 410

Ὀφθαλμοὶ καὶ γλῶσσα καὶ οὔατα καὶ νόος ἀνδρῶν 1163
ἐν μέσσῳ στηθέων ἐν συνετοῖς φύεται.

Νοῦς ἀγαθὸς καὶ γλῶσσα, τά τ' ἐν παύροισι πέφυκεν 1183
470 ἀνδράσιν, οἳ τούτων ἀμφοτέρων ταμίαι.

Γνώμην, Κύρνε, θεοὶ θνητοῖσι διδοῦσιν ἀρίστην·
ἀνθρώπου γνώμη πείρατα παντὸς ἔχει.

---

455. Φράζεο, Δαρδανίδη, φραδέος νόου ἔργα τέτυκται.
Iliad. XXIV, 354.
Δηρὸν βουλεύειν, ἵν' ἔχῃ καὶ πολλὸν ἄμεινον.
Panyasis V. Poet. min. Gr. ed. Lips. T. III, p. 270.
Βουλεύου δὲ πρὸ ἔργου, ὅπως μὴ μῶρα πέληται κ. τ. λ.
Pythag. 27.
Ἡ βραδύπους βουλὴ μέγ' ἀμείνων· ἡ δὲ ταχεῖα
αἰὲν ἐφελκομένη τὴν μετάνοιαν ἔχει.
Lucianus, Anthol. Pal. p. 495.
Βραδέως ἐγχείρει· ὃ δ' ἂν ἄρξῃ διαβεβαίου. Bias ap. Demetr.
cf. Stob. 3 p. 38. Βουλεύου χρήσιμα. Sosiad.

457. Οὐδ' ἀρετᾷ κακὰ ἔργα· κιχάνει τοι βραδὺς ὠκύν.
Odyss. VIII, 329.

472. Γνωμοσύνης —
μέτρον, ὃ δὴ πάντων πείρατα μοῦνον ἔχει.
Solon. fr. 8.

ὦ μάκαρ, ὅς τις δή μιν ἔχει φρεσίν. ἦ πολὺ κρείσσων
ὕβριος οὐλομένης λευγαλέου τε κόρου
475 ἐστι. κακὸν δὲ βροτοῖσι κόρος, τῶν οὔ τι κάκιον· 1175
πᾶσα γὰρ ἐκ τούτων, Κύρνε, πέλει κακότης.

Πολλούς τοι κόρος ἄνδρας ἀπώλεσεν ἀφραίνοντας· 695
γνῶναι γὰρ χαλεπὸν μέτρον, ὅτ' ἐσθλὰ παρῇ.

Πολλῷ τοι πλέονας λιμοῦ κόρος ὤλεσεν ἤδη 605
480 ἄνδρας, ὅσοι μοίρης πλεῖον ἔχειν ἔθελον.

Ἐλπὶς καὶ κίνδυνος ἐν ἀνθρώποισιν ὁμοῖοι· 637
οὗτοι γὰρ χαλεποὶ δαίμονες ἀμφότεροι.

Πολλάκι πὰρ δόξαν τε καὶ ἐλπίδα γίγνεται εὑρεῖν
ἔργ' ἀνδρῶν, βουλαῖς δ' οὐκ ἐπέγεντο τέλος. 640

485 Οὐδ' ὀμόσαι χρὴ τοῦθ', ὅτι μή ποτε πρῆγμα τόδ' ἔσται·
θεοὶ γάρ τε νεμεσῶσ', οἷσιν ἔπεστι τέλος. 660

Πρήγματος ἀπρήκτου χαλεπώτατόν ἐστι τελευτὴν 1075
γνῶναι, ὅπως μέλλει τοῦτο θεὸς τελέσαι.
ὄρφνη γὰρ τέταται· πρὸ δὲ τοῦ μέλλοντος ἔσεσθαι
490 οὐ ξυνετὰ θνητοῖς πείρατ' ἀμηχανίης.

---

485. Ἔλπεσθαι χρὴ πάντ', ἐπεὶ οὐκ ἔστ' οὐδὲν ἄελπτον·
ῥᾴδια πάντα θεῷ τελέσαι καὶ ἀνήνυτον οὐδέν.
Linus.
Ἄνθρωπος ἐὼν μήποτε φήσῃς ὅ, τι γίγνεται κ. τ. λ.
Simon. Scol.
Τελεῖ θεῶν δύναμις καὶ τὰν παρ' ὅρκον καὶ παρὰ ἐλπίδα κούφαν κτίσιν.
Pind. O. XIII, 116.

487. Πᾶσίν τοι κίνδυνος ἐπ' ἔργμασιν, οὐδέ τις οἶδεν,
ποῖ σχήσειν μέλλει πρήγματος ἀρχομένου.
Solon infra 1169.
Ἀσφαλὲς τὸ γενόμενον, ἀσαφὲς τὸ μέλλον. Thales. Νόει τὸ πραττόμενον. Bias. Τὰ ἀφανῆ τοῖς φανεροῖς τεκμαίρου. Solon. ap. Demetr. Idem Theobulo (vel ut leg. vid. Cleobulo) tribuitur ap. Stob. 3. p. 38.

Ἀλλὰ τὰ μὲν προβέβηκεν, ἀμήχανόν ἐστι γενέσθαι 583
ἀργά· τὰ δ' ἐξοπίσω τῇ φυλακῇ μελέτω.

Πολλοὶ πλοῦτον ἔχουσιν ἄϊδριες· οἱ δὲ τὰ καλὰ
ζητοῦσιν, χαλεπῇ τειρόμενοι πενίῃ.
495 ἔρδειν δ' ἀμφοτέροισιν ἀμηχανίη παράκειται· 683
εἴργει γὰρ τοὺς μὲν χρήματα, τοὺς δὲ νόος.

Πολλοῖς ἀχρήστοισι θεὸς διδοῖ ἀνδράσιν ὄλβον 865
ἐσθλόν, ὃς οὔτ' αὐτῷ βέλτερος οὐδὲν ἐών,
οὔτε φίλοις. ἀρετῆς δὲ μέγα κλέος οὔ ποτ' ὀλεῖται·
500 αἰχμητὴς γὰρ ἀνὴρ γῆν τε καὶ ἄστυ σαοῖ.

Πλήθει δ' ἀνθρώπων ἀρετὴ μία γίγνεται ἥδε,
πλουτεῖν· τῶν δ' ἄλλων οὐδὲν ἄρ' ἦν ὄφελος, 700
οὐδ' εἰ σωφροσύνην μὲν ἔχοις Ῥαδαμάνθυος αὐτοῦ,
πλείονα δ' εἰδείης Σισύφου Αἰολίδεω,
505 ὅς τε καὶ ἐξ Ἀΐδεω πολυϊδρείῃσιν ἀνῆλθεν,
πείσας Περσεφόνην αἱμυλίοισι λόγοις,
ἥ τε βροτοῖς παρέχει λήθην, βλάπτουσα νόοιο — 705
ἄλλος δ' οὔ πώ τις τοῦτό γ' ἐπεφράσατο,
ὅν τινα δὴ θανάτοιο μέλαν νέφος ἀμφικαλύψῃ,
510 ἔλθῃ δ' ἐς κρυερὸν χῶρον ἀποφθιμένων,
κυανέας τε πύλας παραμείψεται, αἵ τε θανόντων
ψυχὰς εἴργουσιν, καί περ ἀναινομένας· 710
ἀλλ' ἄρα καὶ κεῖθεν πάλιν ἤλυθε Σίσυφος ἥρως
ἐς φάος ἠελίου σφῇσι πολυφροσύναις· —

---

495. Οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν,
οὔτ' ἀρετὴ ἀφένοιο.

Callim. in Jov. 95.

497. Πιστὸν φάσομεν
κῦδος ἔχειν ἀρετάν· πλοῦτος δὲ καὶ δειλοῖσιν ἀνθρώπων ὁμιλεῖ.

Bacchyl. fr. 4.

515 οὐδ' εἰ ψεύδεα μὲν ποιοῖς ἐτύμοισιν ὁμοῖα,
γλῶσσαν ἔχων ἀγαθὴν Νέστορος ἀντιθέου,
ὠκύτερος δ' εἴησθα πόδας ταχεῶν Ἁρπυιῶν — 715
καὶ παίδων Βορέω, τῶν ἄφαρ ἶσι πόδες.
ἀλλὰ χρὴ πάντας γνώμην ταύτην καταθέσθαι,
520 ὡς πλοῦτος πλείστην πᾶσιν ἔχει δύναμιν.

Γνωτή τοι πενίη, καὶ ἀλλοτρίη περ ἐοῦσα·
οὔτε γὰρ εἰς ἀγορὴν ἔρχεται οὔτε δίκας·
πάντη γὰρ τοὔλασσον ἔχει, πάντη δ' ἐπίμυκτος,
πάντη δ' ἐχθρὴ ὁμῶς γίγνεται, ἔνθα περ ᾖ. — 270

525 Πλοῦτε, θεῶν κάλλιστε καὶ ἱμεροέστατε πάντων, — 1117
σὺν σοὶ καὶ κακὸς ὢν γίγνομαι ἐσθλὸς ἀνήρ.

Οὔ σε μάτην, ὦ Πλοῦτε, βροτοὶ τιμῶσι μάλιστα·
ἦ γὰρ ῥηϊδίως τὴν κακότητα φέρεις.
καὶ γάρ τοι πλοῦτον μὲν ἔχειν ἀγαθοῖσιν ἔοικεν, — 525
530 ἡ πενίη δὲ κακῷ σύμφορος ἀνδρὶ φέρειν.

Ἄνδρ' ἀγαθὸν πενίη πάντων δάμνησι μάλιστα,
καὶ γήρως πολιοῦ, Κύρνε, καὶ ἠπιάλου,
ἣν δὴ χρὴ φεύγοντα καὶ ἐς βαθυκήτεα πόντον — 175
ῥίπτειν, καὶ πετρέων, Κύρνε, κατ' ἠλιβάτων.
535 καὶ γὰρ ἀνὴρ πενίῃ δεδμημένος οὔ τέ τι εἰπεῖν
οὔθ' ἔρξαι δύναται, γλῶσσα δέ οἱ δέδεται.

Χρὴ γὰρ ὁμῶς ἐπὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
δίζησθαι χαλεπῆς, Κύρνε, λύσιν πενίης. — 180

---

521. — Βιότοιο μὲν ὅς κ' ἐπιδευὴς
στρωφᾶται, μακάρεσσιν ἐπὶ ψόγον αἰνὸν ἰάπτει,
ἀχνύμενος· σφετέρην δ' ἀρετὴν καὶ θυμὸν ἀτίζει,
οὐδέ τι θαρσαλέος νοέειν ἔπος, οὐδέ τι ῥέξαι,
ἐρριγώς, ὅταν ἄνδρες ἐχεκτέανοι παρέωσι·
καὶ οἱ θυμὸν ἔδουσι κατηφείη καὶ ὀϊζύς.
Rhianus ap. Stob. 4.

527. Τὸ δυςτυχὲς γὰρ ηὑγένει' ἀμύνεται
τῆς δυςγενείας μᾶλλον.
Eurip. Heraclid. 303.

Τεθνάμεναι, φίλε Κύρνε, πενιχρῷ βέλτερον ἀνδρί, 181
540 ἢ ζώειν χαλεπῇ τειρόμενον πενίῃ.

Φροντίδες ἀνθρώπων ἔλαχον πτερὰ ποικίλ' ἔχουσαι,
μυρόμεναι ψυχῆς εἵνεκα καὶ βιοτῆς.

Πάντων μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον, 425
μηδ' ἐςιδεῖν αὐγὰς ὀξέος ἠελίου·
545 φύντα δ' ὅπως ὤκιστα πύλας Ἀΐδαο περῆσαι,
καὶ κεῖσθαι πολλὴν γῆν ἐπαμησάμενον.

Καὶ πρῆξαι μέν τοί τι. καὶ ἐκ κακοῦ ἐσθλὸν ἔγεντο, 661
καὶ κακὸν ἐξ ἀγαθοῦ. καί τε πενιχρὸς ἀνὴρ
αἶψα μάλ' ἐπλούτησε· καὶ ὃς μάλα πολλὰ πέπαται,
550 ἐξαπίνης πάντ' οὖν ὤλεσε νυκτὶ μιῇ.

Φράζεο· κίνδυνός τοι ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς· 557
ἄλλοτε πόλλ' ἕξεις, ἄλλοτε παυρότερα.

Ὥς τέ σε μήτε λίην ἀφνεὸν κτεάτεσσι γενέσθαι,
μήτε σέ γ' ἐς πολλὴν χρημοσύνην ἐλάσαι. 560

---

543. *Οὐ μὲν γάρ τί που ἔστιν ὀϊζυρώτερον ἀνδρὸς*
πάντων, ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
Iliad. XVII, 446.
Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο,
πάντων, ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
Odyss. XVIII, 129.
Πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα.
Hesiod. 101.
Μὴ φῦναι τὸν ἅπαντα νι-
κᾷ λόγον· τὸ δ' ἐπεὶ φανῇ,
βῆναι κεῖθεν ὅθεν περ ἥ-
κει, πολὺ δεύτερον, ὡς τάχιστα.
Soph. Oed. Col. 1225.
Θνατοῖσι μὴ φῦναι φέριστον
μηδ' ἀελίου προςιδεῖν φέγγος·
ὄλβιος δ' οὐδεὶς βροτῶν πάντα χρόνον.
Bacchyl. fr. 3.
Τὸν τετελευτηκότα μακάριζε. Chilo. *Ζῶν μὲν ἐπαινοῦ. ἀποθανὼν δὲ μακαρίζου.* Periander.

555 Οὐ χρὴ κιγκλίζειν ἀγαθὸν βίον, ἀλλ' ἀτρεμίζειν, 505
τὸν δὲ κακὸν κινεῖν, ἔςτ' ἂν ἐς ὀρθὰ λάβῃς.

Μή ποτε φεύγοντ' ἄνδρα ἐπ' ἐλπίδι, Κύρνε, φιλήσῃς· 333
οὐδὲ γὰρ οἴκαδε βὰς γίγνεται αὐτὸς ἔτι.

Οὐδείς τοι φεύγοντι φίλος καὶ πιστὸς ἑταῖρος·
560 τῆς δὲ φυγῆς ἐστιν τοῦτ' ἀνιηρότερον. 210

Κύρν', ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον αἰεί,
τολμᾷ δ' ἔν τ' ἀγαθοῖς κείμενος ἔν τε κακοῖς. 320
εἰ δὲ θεὸς κακῷ ἀνδρὶ βίον καὶ πλοῦτον ὀπάσσῃ,
ἀφραίνων κακίην οὐ δύναται κατέχειν.

565 Ἐν πενίῃ δ' ὅ τε δειλὸς ἀνὴρ ὅ τε πολλὸν ἀμείνων
φαίνεται, εὖτ' ἂν δὴ χρημοσύνη κατέχῃ.
τοῦ μὲν γάρ τ' ἄδικα φρονέει νόος, οὐδέ οἱ αἰεὶ 395
ἰθεῖα γνώμη στήθεσιν ἐμπέφυεν·
τοῦ δ' αὖτ' οὔτε κακοῖς ἕπεται νόος οὔτ' ἀγαθοῖσιν.
570 τὸν δ' ἀγαθὸν τολμᾶν χρὴ τά τε καὶ τὰ φέρειν.

Οὐδείς τοι πάντ' ἐστὶ πανόλβιος. ἀλλ' ὁ μὲν ἐσθλὸς
τολμᾷ ἔχων τὸ κακόν, κοὐκ ἐπίδηλος ὅμως·
δειλὸς δ' οὔτε κακοῖσιν ἐπίσταται οὔτ' ἀγαθοῖσιν
θυμὸν ὁμῶς μίσγειν. ἀθανάτων δὲ δόσεις
575 παντοῖαι θνητοῖσιν ἐπέρχοντ'. ἀλλ' ἐπιτολμᾶν 445
χρὴ δῶρ' ἀθανάτων, οἷα διδοῦσιν, ἔχειν.

---

555. *Οὐ καλῶς βιοῖς παράμενε, κεὐτυχεῖς τὰ πάντα.*
Sotades (aut incertus, Sotadeo usus metro) ap. Stob. 3. p. 38.
Νήπιος, ὃς τὰ ἕτοιμα λιπὼν ἀνέτοιμα διώκει.
Ap. Plutarch. de garrul. 7.

575. *Τλητὸν γὰρ Μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν.*
Iliad. XXIV, 49.
— *Ἀλλὰ θεοὶ γὰρ ἀνηκέστοισι κακοῖσιν*
ὦ φίλ', ἐπὶ κρατερὴν τλημοσύνην ἔθεσαν
φάρμακον.
Archil. fr. 48.

Οὐ δύναμαί σοι, θυμέ, παρασχεῖν ἄρμενα πάντα· 695
τέτλαθι· τῶν δὲ καλῶν οὔ τι σὺ μοῦνος ἐρᾷς.

Οὔ τι μάλ' ἀνθρώποις καταθύμια πάντα τελεῖται· 617
580 *πολλὸν γὰρ θνητῶν κρέσσονες ἀθάνατοι.*

Οὐκ ἔστιν θνητοῖσι παρ' ἀθανάτους μαχέσασθαι, 687
οὐδὲ δίκην εἰπεῖν· οὐδενὶ τοῦτο θέμις.

Τολμᾶν χρή, τὰ διδοῦσι θεοὶ θνητοῖσι βροτοῖσιν, 591
ῥηϊδίως δὲ φέρειν ἀμφοτέρων τὸ λάχος,
585 *μήτε κακοῖσιν ἀσῶντα λίην φρένα, μήτ' ἀγαθοῖσιν*
τερφθέντ' ἐξαπίνης, πρὶν τέλος ἄκρον ἰδεῖν.

Μηδὲν ἄγαν χαλεποῖσιν ἀσῶ φρένα, μηδ' ἀγαθοῖσιν 657
χαῖρ', ἐπεί ἐστ' ἀνδρὸς πάντα φέρειν ἀγαθοῦ.

Οὔ τις ἄποινα διδοὺς θάνατον φύγοι, οὐδὲ βαρεῖαν
590 *δυστυχίην, εἰ μὴ μοῖρ' ἐπὶ τέρμα βάλοι.*
οὐδ' ἂν δυςφροσύνας, ὅτε δὴ θεὸς ἄλγεα πέμπει,
θνητὸς ἀνὴρ δώροις βουλόμενος προφύγοι. 1190

Κύρν', ἔμπης δ' ὅ τι μοῖρα παθεῖν, οὐκ ἔσθ' ὑπαλύξαι· 817
ὅ ττι δὲ μοῖρα παθεῖν, οὔ τι δέδοικα παθεῖν.

---

579. *Ἀνθρώποις γίγνεσθαι ὁκόσα θέλουσιν, οὐκ ἄμεινον.* Heraclit. ap. Stob. Serm. 3 p. 48.

581. *Ὅττι μάλ' οὐ δηναιός, ὃς ἀθανάτοισι μάχηται κ. τ. λ.*
Iliad. V, 407.
Οὐκ ἂν ἔγωγε θεοῖσιν ἐπουρανίοισι μαχοίμην.
Iliad. VI, 129. 141.
Ἄφρων δ' ὅς κ' ἐθέλῃ πρὸς κρείσσονας ἀντιφερίζειν.
Hesiod. 212.
Κοὔ τοι νόσον γ' ἐπακτὸν ἐξαιρούμεθα,
θεοῖσι δυςμαχοῦντες.
Soph. Fr. 490.

585. *Τοῖς θεοῖς τιθεῖν ἅπαντα· πολλάκις μὲν ἐκ κακῶν*
ἄνδρας ὀρθοῦσιν μελαίνῃ κειμένους ἐπὶ χθονί·
πολλάκις δ' ἀνατρέπουσι κ. τ. λ.
Archilochus.

595 Χρὴ τολμᾶν χαλεποῖσιν ἐν ἄλγεσι κείμενον ἄνδρα, 555
πρός τε θεῶν αἰτεῖν ἔκλυσιν ἀθανάτων.

Μηδὲ λίην ἐπίφαινε. κακὸν δέ τι, Κύρν', ἐπιφαίνειν.
παύρους κηδεμόνας σῆς κακότητος ἔχεις. 560

Ἀνδρός τοι κραδίη μινύθει μέγα πῆμα παθόντος, 561
600 Κύρν'· ἀποτινυμένου δ' αὔξεται ἐξοπίσω.

Τόλμα, θυμέ, κακοῖσιν, ὅμως ἄτλητα πεπονθώς·
δειλῶν τοι κραδίη γίγνεται ὀξυτέρη. 1030
μηδὲ σύ γ' ἀπρήκτοισιν ἐπ' ἔργμασιν ἄλγος ἀέξων
ἔχθει, μηδ' ἄχθου, μηδὲ φίλους ἀνία,
605 μηδ' ἐχθροὺς εὔφραινε. θεῶν δ' εἱμαρμένα δῶρα
οὐκ ἂν ῥηϊδίως θνητὸς ἀνὴρ προφύγοι,
οὔτ' ἂν πορφυρέης καταδὺς ἐς πυθμένα λίμνης, 1035
οὔθ' ὅταν αὐτὸν ἔχῃ Τάρταρος ἠερόεις.

Τόλμα, Κύρνε, κακοῖσιν, ἐπεὶ κἀσθλοῖσιν ἔχαιρες, 555
610 εὖτέ σε καὶ τούτων μοῖρ' ἐπέβαλλεν ἔχειν·
ὡς δέ περ ἐξ ἀγαθῶν ἔλαβες κακόν, ὣς δὲ καὶ αὖτις
ἐκδῦναι πειρῶ, θεοῖσιν ἐπευχόμενος.

---

595. Ὅσσα δὲ δαιμονίῃσι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν,
ὧν ἂν μοῖραν ἔχοις, ταύτην ἔχε, μηδ' ἀγανάκτει.
Pythagorei ap. Plut.. Consol. 29 (p. 116 E. cf. Wyttenb.)
Εὐτυχῶν μὲν μέτριος ἴσθι· δυστυχῶν δὲ φρόνιμος. Periander.
597. . . . Ἀλλοτρίοισιν μὴ προφαίνειν τις φέρεται
μόχθος ἄμμιν· τοῦτό γέ τοι ἐρέω·
καλῶν μὲν ὦν μοῖράν τε τερπνῶν ἐς μέσον χρὴ παντὶ λαῷ
δεικνύναι· εἰ δέ τις ἀνθρώποισι θεόσδοτος ἀτλάτα κακότας
προστύχῃ, ταύταν σκότει κρύπτειν ἔοικεν.
Pind. fr. 171. Boeckh. ex carm. ad 419 l.
Δυστυχῶν κρύπτε, ἵνα μὴ τοὺς ἐχθροὺς εὐφρανῇς. Periander. Τὴν εὐτυχίαν κρύπτε φθόνου χάριν· μὴ οἰκτείρου. Pittacus. *)
599. Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.
Hesiod. 93. Odyss. XIX, 360.
Τέτλαθι δή, κραδίη· καὶ κύντερον ἄλλο ποτ' ἔτλης.
Odyss. XX, 18.

*) Gaisfordius Stob. 3 p. 46 edidit τὴν εὐτυχίαν κρύπτε. Φθόνου χάριν μὴ οἰκτείρου.

Οὔτε γε μὴν πενίης θυμοφθόρου, οὐ μελεδαίνω,
οὔτ' ἀνδρῶν ἐχθρῶν, οἵ με λέγουσι κακῶς. 1130
615 *ἀλλ' ἥβην ἐρατὴν ὀλοφύρομαι, ἥ μ' ἐπιλείπει,*
κλαίω δ' ἀργαλέον γῆρας ἐπερχόμενον.

Ὤ μοι ἐγὼν ἥβης καὶ γήραος οὐλομένοιο, 527
τοῦ μὲν ἐπερχομένου, τῆς δ' ἀπονισσομένης.

Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵ τε θανόντας
620 *κλαίουσ', οὐδ' ἥβης ἄνθος ἀπολλύμενον.* 1070

Ξυνὸν δ' ἀνθρώποις ὑποθήσομαι, ὄφρα τις ἥβης
ἀγλαὸν ἄνθος ἔχων καὶ φρεσὶν ἐσθλὰ νοῇ,
τῶν αὐτοῦ κτεάνων εὖ πασχέμεν. οὐ γὰρ ἀνηβᾶν
δὶς πέλεται πρὸς θεῶν, οὐδὲ λύσις θανάτου 1010
625 *θνητοῖς ἀνθρώποισι. κακὸν δ' ἐπὶ γῆρας ἐπείγει*
οὐλόμενον, κεφαλῆς δ' ἅπτεται ἀκροτάτης.

Μή ποτ' ἐπ' ἀπρήκτοισι νόον ἔχε, μηδὲ μενοίνα 461
χρήμασι τῶν ἄνυσις γίγνεται οὐδεμία.

---

621. *Οὐδὲν ἐν ἀνθρώποισι μένει χρῆμ' ἔμπεδον αἰεί·*
ἓν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ·
οἵη περ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν.
παῦροί μιν θνητῶν οὔασι δεξάμενοι
στέρνοις ἐγκατέθεντο. πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ,
ἀνδρῶν ἥ τε νέων στήθεσιν ἐμφύεται.
θνητῶν δ' ὄφρα τις ἄνθος ἔχει πολυήρατον ἥβης,
κοῦφον ἔχων θυμόν, πόλλ' ἀτέλεστα νοεῖ.
οὔτε γὰρ ἐλπίδ' ἔχει γηρασσέμεν, οὔτε θανεῖσθαι,
οὐδ', ὑγιὴς ὅταν ᾖ, φροντίδ' ἔχει καμάτου.
νήπιοι, οἷς ταύτῃ κεῖται νόος, οὐδέ τ' ἴσασιν,
ὡς χρόνος ἔσθ' ἥβης καὶ βιότου ὀλίγος
θνητοῖς. ἀλλὰ σὺ ταῦτα μαθὼν βιότου ποτὶ τέρμα
ψυχῇ τῶν ἀγαθῶν τλῆθι χαριζόμενος.
Simonides.

623. *Τοῖς ἐπιτηδείοις χρῶ.* Thales. *Κτώμενος ἥδου. Χρῶ χρήμασιν. Σεαυτὸν εὖ ποίει.* Sosiad. Sept. Sap. dict.

627. *Νόσος ψυχῆς τὸ τῶν ἀδυνάτων ἐρᾶν, ἀλλοτρίων δὲ κακῶν ἀμνημόνευτον εἶναι.* Bias ap. Diog. L. *Μὴ ἐπιθυμεῖν ἀδυνάτων.* Chilo ibid.

Εὐμαρέως τοι χρῆμα θεοὶ δόσαν οὔ τέ τι δειλὸν   463
630   οὔτ' ἀγαθόν· χαλεπῷ δ' ἔργματι κῦδος ἔπι.

Μηδὲν ἄγαν σπεύδειν. πάντων μέσ' ἄριστα. καὶ οὕτως   335
ἕξεις, Κύρν', ἀρετήν, ἥν τε λαβεῖν χαλεπόν.

Μηδὲν ἄγαν σπεύδειν· καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος
ἔργμασιν ἀνθρώπων. πολλάκι δ' εἰς ἀρετὴν
635 σπεύδει ἀνήρ, κέρδος διζήμενος, ὅν τινα δαίμων
πρόφρων ἐς μεγάλην ἀμπλακίην παράγει,
καί οἱ ἔθηκε δοκεῖν, ἃ μὲν ᾖ κακά, ταῦτ' ἀγάθ' εἶναι   405
εὐμαρέως, ἃ δ' ἂν ᾖ χρήσιμα, ταῦτα κακά.

Οὐ χαλεπὸν ψέξαι τὸν πλησίον, οὐδὲ μὲν αὐτὸν   611
640   αἰνῆσαι· δειλοῖς ἀνδράσι ταῦτα μέλει·
σιγᾶν δ' οὐκ ἐθέλουσι, κακοὶ κακὰ λεσχάζοντες·
οἱ δ' ἀγαθοὶ πάντων μέτρον ἴσασιν ἔχειν.

Πολλοῖς ἀνθρώποις γλώσσῃ θύραι οὐκ ἐπίκεινται   421
ἁρμόδιαι, καὶ σφιν πόλλ' ἀμέλητα μέλει.
645 πολλάκι γὰρ τὸ κακὸν κατακείμενον ἔνδον ἄμεινον,
ἐσθλὸν δ' ἐξελθὸν λώϊον ἢ τὸ κακόν.

---

629. *Τὴν μέν τοι κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι*
ῥηϊδίως· λείη μὲν ὁδός, μάλα δ' ἐγγύθι ναίει·
τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν κ. τ. λ.
Hesiod. 289.
Πάντα πόνος τεύχει θνητοῖς μελέτη τε βροτείη.
Archilochus.
Οὐδὲν ἄνευ καμάτου πέλει ἀνδράσιν εὐπετὲς ἔργον.
Pseudophocyl. 150.
631. *Μέτρα φυλάσσεσθαι, καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος.*
Hesiod. 696.
— *καλὸν δ' ἐπὶ μέτρον ἅπασι.* *)
Pseudophocyl. 12.
Μέτρον ἄριστον. Cleobulus. *Μέτρῳ χρῶ.* Pittacus.
635. *Ἦν Λακεδαιμόνιος Χείλων σόφος, ὃς τάδ' ἔλεξε·*
μηδὲν ἄγαν, καιρῷ πάντα πρόσεστι καλά.
Diog. L. I, 41.

*) Ita legendum. Br. *ἐπίμετρον*. Praecedit enim *μέτρα φυλάσσεσθαι*.

Νήπιος, ὃς τὸν ἐμὸν μὲν ἔχει νόον ἐν φυλακῇσιν,
τὸν δ' αὐτοῦ ἴδιον οὐδὲν ἐπιστρέφεται. 440

Πολλά με καὶ συνιέντα παρέρχεται· ἀλλ' ὑπ' ἀνάγκης
650 σιγῶ, γιγνώσκων ἡμετέρην δύναμιν. 420

Βοῦς μοι ἐπὶ γλώσσης κρατερῷ ποδὶ λὰξ ἐπιβαίνων, 815
ἴσχει κωτίλλειν καί περ ἐπιστάμενον.

Ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγορεύειν 625
καὶ σιγᾷν αἰεί· τοῦτο γὰρ οὐ δυνατόν.

655 Ὅς τίς τοι δοκέει τὸν πλησίον ἴδμεναι οὐδέν,
ἀλλ' αὐτὸς μοῦνος ποικίλα δήνε' ἔχειν,
κεῖνός γ' ἄφρων ἐστί, νόου βεβλαμμένος ἐσθλοῦ.
ἴσως γὰρ πάντες ποικίλ' ἐπιστάμεθα,
ἀλλ' ὁ μὲν οὐκ ἐθέλει κακοκερδείῃσιν ἕπεσθαι, 225
660 τῷ δὲ δολοπλοκίαι μᾶλλον ἄπιστοι ἅδον.

Μὴ πάντ' ἀνδράσι, Κύρνε, καταθνητοῖς χαλεπαίνειν,
γιγνώσκων ὡς νοῦν οἷον ἕκαστος ἔχει
αὐτὸς ἐνὶ στήθεσσι, καὶ ἔργματα, τῷ τε δικαίῳ
τῷ τ' ἀδίκῳ μέγα κεν πῆμα βροτοῖσιν ἐπῆν. 900
665 ἔστιν ὁ μὲν χείρων, ὁ δ' ἀμείνων ἔργον ἕκαστον·
οὐδεὶς δ' ἀνθρώπων αὐτὸς ἅπαντα σοφός.

---

649. *Νοῦν ἡγεμόνα ποιοῦ· ὃ δ' ἂν ἴδῃς μὴ λέγε. εἰδὼς σίγα.* Solon. *Ἡ γλῶσσά σου μὴ προτρεχέτω τοῦ νοῦ.* Chilo. *Γλώττης κρατεῖν.* Cleobulus.

665. *Ἀλλ' οὔπως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισι.*
Iliad. IV, 320.

Ἀλλ' οὔπως ἅμα πάντα δυνήσεαι αὐτὸς ἑλέσθαι.
ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα,
ἄλλῳ δ' ἐν στήθεσσι τιθεῖ νόον εὐρύοπα Ζεύς κ. τ. λ.
Iliad. XIII, 729.

Οὕτως οὐ πάντεσσι θεὸς χαρίεντα δίδωσιν
ἀνδράσιν, οὔτε φυήν, οὔτ' ἂρ φρένας, οὔτ' ἀγορητύν. κ. τ. λ.
Odyss. VIII, 167.

Ἦ ἄρα δὴ μάλα πάντες ἁμαρτίνοοι πελόμεσθα
ἄνθρωποι, φέρομεν δὲ θεῶν ἑτερόῤῥοπα δῶρα
ἀφραδέϊ κραδίῃ κ. τ. λ.
Rhianus ap. Stob. 4.

Πολλάκι τοι καὶ μωρὸς ἀνὴρ κατακαίριον εἶπεν.
Poet. inc. ap. Stob. ib. cf. Gaisf.

Καὶ σώφρων ἥμαρτε, καὶ ἄφρονι πολλάκι δόξα 665
ἕσπετο, καὶ τιμῆς καὶ κακὸς ὢν ἔλαχεν.

Οὐδὲ λέων αἰεὶ κρέα δαίνυται, ἀλλά μιν ἔμπης 293
670 *καὶ κρατερόν περ ἐόνθ' αἱρεῖ ἀμηχανίη.*

Παντοῖαι κακότητες ἐν ἀνθρώποισιν ἔασιν, 623
παντοῖαι δ' ἀρεταὶ καὶ βιότου παλάμαι.

Οὐδένα τῶν ἐχθρῶν μωμήσομαι ἐσθλὸν ἐόντα,
οὐδὲ μὲν αἰνήσω δειλὸν ἐόντα φίλον. 1080

675 *Μηδὲν ἄγαν ἄσχαλλε ταρασσομένων πολιητέων,*
Κύρνε, μέσην δ' ἔρχευ τὴν ὁδόν, ὥσπερ ἐγώ. 220

Μηδὲ λίην κήρυκος ἀν' οὖς ἔχε μακρὰ βοῶντος· 887
οὐ γὰρ πατρῴας γῆς πέρι μαρνάμεθα.

Ἀλλ' αἰσχρὸν παρεόντα καὶ ὠκυπόδων ἐπιβάντα
680 *ἵππων, μὴ πόλεμον δακρυόεντ' ἐσιδεῖν.* 890

Ἥσυχος, ὥσπερ ἐγώ, μέσσην ὁδὸν ἔρχεο ποσσίν, 331
μηδ' ἑτέροισι διδούς, Κύρνε, τὰ τῶν ἑτέρων.

---

673. — — *Ἀληθείη δὲ παρέστω*
σοὶ καὶ ἐμοί, πάντων χρῆμα δικαιότατον.
Mimnermus infra 1167.
Κεῖνος αἰνεῖν καὶ τὸν ἐχθρὸν
παντὶ θυμῷ σύν γε δίκᾳ καλὰ ῥέζοντ' ἔννεπεν.
Pind. P. IX, 169.

Φίλον μὴ λέγειν κακῶς, ἀλλὰ μηδὲ ἐχθρόν. Pittacus. *Τὸν φίλον κακῶς μὴ λέγε, μηδ' εὖ τὸν ἐχθρόν· ἀσυλλόγιστον γὰρ τὸ τοιοῦτον.* Thales.

681. *Πολλὰ μέσοισιν ἄριστα, μέσος θέλω ἐν πόλει εἶναι.*
Phocyl. ap. Aristotel.
Καλὸν ἡσυχία. ἐπισφαλὲς προπέτεια. Periander.

Μή τέ τιν' αὖξε τύραννον ἐπ' ἐλπίδι, κέρδεσιν εἴκων· 823
μήτε κτεῖνε, θεῶν ὅρκια συνθέμενος.

685 Οὐκ εἰμ', οὐδ' ὑπ' ἐμοῦ κεκλήσεται, οὐδ' ἐπὶ τύμβῳ
οἰμωχθεὶς ὑπὸ γῆν εἶσι τύραννος ἀνήρ·
οὐδ' ἂν ἐκεῖνος ἐμοῦ τεθνηότος οὔτ' ἀνιῷτο, 1205
οὔτε κατὰ βλεφάρων θερμὰ βάλοι δάκρυα.

Οὔ τις ἀνήρ, φίλε Κύρνε, πέδας χαλκεύεται αὐτῷ,
690 εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοί. 540

Εἶμι παρὰ στάθμην ὀρθὴν ὁδόν, οὐδετέρωσε 945
κλινόμενος· χρὴ γάρ μ' ἄρτια πάντα νοεῖν.

Πατρίδα κοσμήσω, λιπαρὴν πόλιν, οὔτ' ἐπὶ δήμῳ 947
τρέψας, οὔτ' ἀδίκοις ἀνδράσι πειθόμενος.

695 Ἀκρόπολις καὶ πύργος ἐὼν κενεόφρονι δήμῳ, 233
Κύρν', ὀλίγης τιμῆς ἔμμορεν ἐσθλὸς ἀνήρ.

Οὐδὲν ἐπιπρέπει ἧμιν ἅτ' ἀνδράσι σωζομένοισιν, 235
ἀλλ' ὡς πάγχυ πόλει, Κύρνε, ἁλωσομένῃ.

Κύρνε, κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκῃ ἄνδρα
700 εὐθυντῆρα κακῆς ὕβριος ἡμετέρης. 40
ἀστοὶ μὲν γὰρ ἔθ' οἵδε σαόφρονες, ἡγεμόνες δὲ
τετρόφαται πολλὴν ἐς κακότητα πεσεῖν.

Κύρνε, κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκῃ ἄνδρα 1081
ὑβριστήν, χαλεπῆς ἡγεμόνα στάσιος.

---

685. Τῶν γὰρ ἂμ πόλιν εὑρίσκων τὰ μέσα μακροτέρῳ
ὄλβῳ τεθαλότα, μέμφομ' αἶσαν τυραννίδων.
Pind. P. XI, 79.

689. Εὐνομία δ' εὔκοσμα καὶ ἄρτια πάντ' ἀποφαίνει,
καὶ θαμὰ τοῖς ἀδίκοις ἀμφιτίθησι πέδας.
Solon XV, 32.

705 Πολλάκις ἡ πόλις ἥδε δι' ἡγεμόνων κακότητα 855
ὥςπερ κεκλιμένη ναῦς παρὰ γῆν ἔδραμεν.

Οὐδεμίαν πω, Κύρν', ἀγαθοὶ πόλιν ὤλεσαν ἄνδρες·
ἀλλ' ὅταν ὑβρίζειν τοῖσι κακοῖσιν ἅδῃ,
δῆμόν τε φθείρωσι, δίκας τ' ἀδίκοισι διδῶσιν, 45
710 οἰκείων κερδῶν εἵνεκα καὶ κράτεος,
ἔλπεο μὴ δηρὸν κείνην πόλιν ἀτρεμέεσθαι,
μηδ' εἰ νῦν κεῖται πολλῇ ἐν ἡσυχίῃ,
εὖτ' ἂν τοῖσι κακοῖσι φίλ' ἀνδράσι ταῦτα γένηται,
κέρδεα δημοσίῳ σὺν κακῷ ἐρχόμενα. 50
715 ἐκ τῶν γὰρ στάσιές τε καὶ ἔμφυλοι φόνοι ἀνδρῶν.
μούναρχος δὲ πόλει μή ποτε τῇδε ἅδοι.

Λὰξ ἐπίβα δήμῳ κενεόφρονι, τύπτε δὲ κέντρῳ
ὀξέϊ, καὶ ζεύγλην δύςλοφον ἀμφιτίθει.
οὐ γὰρ ἔθ' εὑρήσεις δῆμον φιλοδέσποτον ὧδε
720 ἀνθρώπων ὁπόσους ἠέλιος καθορᾷ. 850

Τοιάδε καὶ Μάγνητας ἀπώλεσεν ἔργα καὶ ὕβρις, 605
οἷα τὰ νῦν ἱερὴν τήνδε πόλιν κατέχει.

Ὕβρις καὶ Μάγνητας ἀπώλεσε καὶ Κολοφῶνα 1103
καὶ Σμύρνην. πάντως, Κύρνε, καὶ ὔμμ' ἀπολεῖ.

725 Ἐς πολυάρητον κακὸν ἥκομεν, ἔνθα μάλιστα,
Κύρνε, συναμφοτέρους μοῖρα λάβοι θανάτου. 820

Ἄρτεμι θηροφόνη, θύγατερ Διός, ἣν Ἀγαμέμνων 11
εἵσαθ', ὅτ' ἐς Τροίην ἔπλεε νηυσὶ θοῇς,
εὐχομένῳ μοι κλῦθι, κακὰς δ' ἀπὸ κῆρας ἄλαλκε.
730 σοὶ μὲν τοῦτο, θεά, μικρόν, ἐμοὶ δὲ μέγα.

---

715. Ἀνδρῶν δ' ἐκ μεγάλων πόλις ὄλλυται· εἰς δὲ μονάρχου
δῆμος ἀϊδρίῃ ἐὼν δουλοσύνην ἔπεσε.
Solon XVIII, 5.

Οὕνεκα νῦν φερόμεσθα καθ' ἱστία λευκὰ βαλόντες,
Μηλίου ἐκ πόντου νύκτα διὰ δνοφερήν·
ἀντλεῖν δ' οὐκ ἐθέλουσιν· ὑπερβάλλει δὲ θάλασσα
ἀμφοτέρων τοίχων. ἦ μάλα τις χαλεπῶς
735 *σώζεται. οἱ δ' εὕδουσι. κυβερνήτην μὲν ἔπαυσαν* 675
ἐσθλόν, ὅτις φυλακὴν εἶχεν ἐπισταμένως·
χρήματα δ' ἁρπάζουσι βίῃ, κόσμος δ' ἀπόλωλεν,
δασμὸς δ' οὐκέτ' ἴσως γίγνεται ἐς τὸ μέσον·
φορτηγοὶ δ' ἄρχουσι, κακοὶ δ' ἀγαθῶν καθύπερθεν.
740 *δειμαίνω μή πως ναῦν κατὰ κῦμα πίῃ.* 680
ταῦτά μοι ἠνίχθω κεκρυμμένα τοῖς ἀγαθοῖσιν·
γιγνώσκοι δ' ἄν τις καὶ κακός, ἂν σοφὸς ᾖ.

Ἄγγελος ἄφθογγος πόλεμον πολύδακρυν ἐγείρει,
Κύρν', ἀπὸ τηλαυγέος φαινόμενος σκοπιῆς. 550
745 *ἀλλ' ἵπποις ἔμβαλλε ταχυπτέρνοισι χαλινούς·*
δήων γάρ σφ' ἀνδρῶν ἀντιάσειν δοκέω.
οὐ πολλὸν τὸ μεσηγύ· διαπρήξουσι κέλευθον,
εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοί.

Πῶς ὑμῖν τέτληκεν ὑπ' αὐλητῆρος ἀείδειν 325
750 *θυμός; γῆς δ' οὖρος φαίνεται ἐξ ἀγορῆς,*
ἥτε τρέφει καρποῖσιν ἐν εἰλαπίναις φορέοντας
ξανθῇσίν τε κόμαις πορφυρέους στεφάνους.

---

731. *Γλαῦχ', ὅρα, βαθὺς γὰρ ἤδη κύμασιν ταράσσεται*
πόντος, ἀμφὶ δ' ἄκρα γυρεὸν ὀρθὸν ἵσταται νέφος,
σῆμα χειμῶνος, κιχάνει δ' ἐξ ἀελπτίας φόβος.
Archilochus.

Τὸ μὲν γὰρ ἔνθεν κῦμα κυλίνδεται,
τὸ δ' ἔνθεν· ἄμμες δ' ἂν τὸ μέσσον
ναΐ φορήμεθα σὺν μελαίνᾳ,
χειμῶνι μοχθεῦντες μεγάλῳ κάλων·
πὲρ μὲν γὰρ ἄντλος ἱστοπέδαν ἔχει,
λαῖφος δὲ πᾶν ζάδηλον ἤδη,
καὶ λακίδες μεγάλαι κατ' αὐτό,
χαλᾶσι δ' ἄγκυραι.
Alcaeus (cf. Horat Od. I, 14.).

ἀλλ' ἄγε δή, Σκύθα, κεῖρε κόμην, ἀπόπαυε δὲ κῶμον,
πένθει δ' εὐώδη χῶρον ἀπολλύμενον. 830

755 Φοῖβε ἄναξ, αὐτὸς μὲν ἐπύργωσας πόλιν ἄκρην,
Ἀλκαθόῳ Πέλοπος παιδὶ χαριζόμενος·
αὐτὸς δὲ στρατὸν ὑβριστὴν Μήδων ἀπέρυκε 775
τῆςδε πόλευς, ἵνα σοι λαοὶ ἐν εὐφροσύνῃ
ἦρος ἐπερχομένου κλειτὰς πέμπωσ' ἑκατόμβας,
760 τερπόμενοι κιθάρῃ καὶ ἐρατῇ θαλίῃ,
παιάνων τε χοροῖς, ἰαχαῖσί τε σὸν περὶ βωμόν.
ἦ γὰρ ἔγωγε δέδοικ', ἀφραδίην ἐςορῶν 780
καὶ στάσιν Ἑλλήνων λαοφθόρον· ἀλλὰ σύ, Φοῖβε,
ἵλαος ἡμετέρην τήνδε φύλασσε πόλιν.

765 Ἦλθον μὲν γὰρ ἔγωγε καὶ ἐς Σικελήν ποτε γαῖαν,
ἦλθον δ' Εὐβοίης ἀμπελόεν πεδίον,
Σπάρτην τ', Εὐρώτα δονακοτρόφου ἀγλαὸν ἄστυ· 785
καί μ' ἐφίλευν προφρόνως πάντες ἐπερχόμενον.
ἀλλ' οὔ τίς μοι τέρψις ἐπὶ φρένας ἦλθεν ἐκείνων.
770 οὕτως οὐδὲν ἄρ' ἦν φίλτερον ἄλλο πάτρης.

Μή με κακῶν μίμνησκε. πέπονθά τοι οἷά τ' Ὀδυσσεύς,
ὅς τ' Ἀΐδεω μέγα δῶμ' ἤλυθεν ἐξαναδύς,
ὃς δὴ καὶ μνηστῆρας ἀνείλετο νηλέϊ χαλκῷ 1125
Πηνελόπης ἔμφρων, κουριδίης ἀλόχου,

---

755. Ἡμετέρη δὲ πόλις κατὰ μὲν Διὸς οὔ ποτ' ὀλεῖται
αἶσαν, καὶ μακάρων θεῶν φρένας ἀθανάτων.
τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὀβριμοπάτρη
Παλλὰς Ἀθηναίη χεῖρας ὕπερθεν ἔχει.

Solon XV.

769. Ὡς οὐδὲν γλύκιον ἧς πατρίδος οὐδὲ τοκήων
γίγνεται, εἴπερ καί τις ἀπόπροθι πίονα οἶκον
γαίῃ ἐν ἀλλοδαπῇ ναίει ἀπάνευθε τοκήων.

Odyss. IX, 34.

Πόλιν δὲ φιλαιτέραν μηδεὶς ἄλλην ποιείσθω τῆς ἑαυτοῦ πατρίδος, ὡς θεῶν πατρώων νεμεσώντων. ἀρχὴ γὰρ προδοσίας φύεται τοῖς ταῦτα βουλομένοις. ἔτι δὲ χαλεπώτερον τῆς οἰκείας γῆς στερόμενον ζῆν ἐπ' ἀλλοτρίας· οὐδὲν γάρ ἐστιν οἰκειότερον πατρίδος. Zaleucus.

775 ἥ μιν δήθ' ὑπέμεινε, φίλῳ παρὰ παιδὶ μένουσα,
ὄφρα τε γῆς ἐπέβη δειμαλέους τε μυχούς.

Ἀλλά, Ζεῦ, τέλεσόν μοι, Ὀλύμπιε, καίριον εὐχήν·
δὸς δέ μοι ἀντὶ κακῶν καί τι παθεῖν ἀγαθόν.
τεθναίην δ', εἰ μή τι κακῶν ἄμπαυμα μεριμνέων
780 εὑροίμην, δοίης δ' ἀντ' ἀνιῶν ἀνίας.
αἶσα γὰρ οὕτως ἐστί. τίσις δ' οὐ φαίνεται ἡμῖν 345
ἀνδρῶν, οἳ τἀμὰ χρήματ' ἔχουσι βίῃ
συλήσαντες. ἐγὼ δὲ κύων ἐπέρησα χαράδρην,
χειμάρρῳ ποταμῷ πάντ' ἀποσεισάμενος.
785 τῶν εἴη μέλαν αἷμα πιεῖν· ἐπί τ' ἐσθλὸς ὄροιτο
δαίμων, ὃς κατ' ἐμὸν νοῦν τελέσειε τάδε. 350

Πάντα τάδ' ἐν κοράκεσσι καὶ ἐν φθόρῳ. οὐδέ τις ἡμῖν
αἴτιος ἀθανάτων, Κύρνε, θεῶν μακάρων,
ἀλλ' ἀνδρῶν τε βίη καὶ κέρδεα δειλὰ καὶ ὕβρις 835
790 πολλῶν ἐξ ἀγαθῶν ἐς κακότητ' ἔβαλον.

Ὤ μοι ἐγὼ δειλός! καὶ δὴ κατάχαρμα μὲν ἐχθροῖς, 1107
τοῖς δὲ φίλοισι πόνος, δεινὰ παθών, γενόμην.

Οὔ ποτε τοῖς ἐχθροῖσιν ὑπὸ ζυγὸν αὐχένα θήσω 1023
δύςλοφον, οὐδ' εἴ μοι Τμῶλος ἔπεστι κάρῃ.

795 Ἔν μοι ἔπειτα πέσοι μέγας οὐρανὸς εὐρὺς ὕπερθεν,
χάλκεος, ἀνθρώπων δεῖμα παλαιγενέων, 870
εἰ μὴ ἐγὼ τοῖσιν μὲν ἐπαρκέσω, οἵ με φιλεῦσιν,
τοῖς δ' ἐχθροῖς ἀνίη καὶ μέγα πῆμ' ἔσομαι.

Χρῆμ' ἔπαθον θανάτου μὲν ἀεικέος οὔ τι κάκιον, 811
800 τῶν δ' ἄλλων πάντων, Κύρν', ἀνιηρότατον.

---

785. *Αἲ γάρ πως αὐτόν με μένος καὶ θυμὸς ἀνείη*
ὤμ' ἀποταμνόμενον κρέα ἔδμεναι, οἷα μ' ἔοργας.
Iliad. XXII, 346. Cf. IV, 35. XXIV, 212.

οἵ με φίλοι προὔδωκαν. ἐγὼ δ' ἐχθροῖσι πελασθείς,
εἰδήσω καὶ τῶν ὅν τιν' ἔχουσι νόον.

Ἆ μάκαρ εὐδαίμων τε καὶ ὄλβιος, ὅς τις ἄπειρος
ἄθλων εἰς Ἀΐδεω δῶμα μέλαν καταβῇ,
805 πρίν γ' ἐχθροὺς πτῆξαι καὶ ὑπερβῆναί περ ἀνάγκῃ, 1015
ἐξετάσαι τε φίλους, ὅν τιν' ἔχουσι νόον.

Ἀστῶν μηδενὶ πιστὸς ἐὼν πόδα τόνδε πρόβαινε,
μήθ' ὅρκῳ πίσυνος μήτε φιλημοσύνῃ,
μηδ' εἰ Ζῆν' ἐθέλῃ παρέχειν βασιλῆα μέγιστον 285
810 ἔγγυον ἀθανάτων, πιστὰ τιθεῖν ἐθέλων.

Πίστει χρήματ' ὄλεσσα, ἀπιστίῃ δ' ἐσάωσα· 831
γνώμη δ' ἀργαλέη γίγνεται ἀμφοτέρων.

Οἵ με φίλοι προδιδοῦσιν, ἐπεὶ τόν γ' ἐχθρὸν ἀλεῦμαι, 575
ὥςτε κυβερνήτης χοιράδας εἰναλίας.

815 Ἐχθρὸν μὲν χαλεπὸν καὶ δυςμενῆ ἐξαπατῆσαι,
Κύρνε· φίλον δὲ φίλῳ ῥᾴδιον ἐξαπατᾶν. 1220

Πόλλ' ἐν ἀμηχανίῃσι κυλίνδομαι, ἀχνύμενος κῆρ·
ἄκρην γὰρ πενίην οὐχ ὑπερεδράμομεν. 620

Πᾶς τις πλούσιον ἄνδρα τίει, ἀτίει δὲ πενιχρόν· 621
820 πᾶσιν δ' ἀνθρώποις αὐτὸς ἔνεστι νόος.

Ἆ δειλὴ πενίη, τί ἐμοῖς ἐπικειμένη ὤμοις
σῶμα καταισχύνεις καὶ νόον ἡμέτερον; 650

---

807. Καί τε κασιγνήτῳ γελάσας ἐπὶ μάρτυρα θέσθαι.
Hesiod. 373.

819. Χρήματα γὰρ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσιν.
Hesiod. 688.

Ὡς γὰρ δή ποτά φαισιν Ἀριστόδαμον
ἐν Σπάρτᾳ λόγον οὐκ ἀπάλαμνον εἰπῆν·
χρήματ' ἀνήρ· πενιχρὸς γὰρ οὐδεὶς
πέλετ' ἐσλὸς οὐδὲ τίμιος.
Alcaeus fr. 28. Cf. Pind. I. II. 17.

αἰσχρὰ δέ μ' οὐκ ἐθέλοντα βίῃ καὶ πολλὰ διδάσκεις,
ἐσθλὰ παρ' ἀνθρώπων καὶ κάλ' ἐπιστάμενον.

825 Ἆ δειλὴ πενίη, τί μένεις προλιποῦσα παρ' ἄλλον 351
ἄνδρ' ἰέναι; τί δὲ δή μ' οὐκ ἐθέλοντα φιλεῖς;
ἀλλ' ἴθι καὶ δόμον ἄλλον ἐποίχεο, μηδὲ μεθ' ἡμέων
αἰεὶ δυστήνου τοῦδε βίου μέτεχε.

Ζεύς μοι τῶν τε φίλων δοίη τίσιν, οἵ με φιλεῦσιν,
830 τῶν τ' ἐχθρῶν μεῖζον, Κύρνε, δυνησόμενον.
χοὔτως ἂν δοκέοιμι μετ' ἀνθρώποις θεὸς εἶναι,
ἤν ἀποτισάμενον μοῖρα κίχῃ θανάτου. 340

Οὐδέν' ὅμοιον ἐμοὶ δύναμαι διζήμενος εὑρεῖν 415
πιστὸν ἑταῖρον, ὅτῳ μή τις ἔνεστι δόλος·
835 ἐς βάσανον δ' ἐλθὼν παρατρίβομαι ὥςτε μολίβδῳ
χρυσός, ὑπερτερίης δ' ἄμμιν ἔνεστι λόγος.

Κάστορ καὶ Πολύδευκες, οἳ ἐν Λακεδαίμονι δίῃ
ναίετ' ἐπ' Εὐρώτα καλλιρόῳ ποταμῷ,
εἴ ποτε βουλεύσαιμι φίλῳ κακόν, αὐτὸς ἔχοιμι·
840 εἰ δέ τι κεῖνος ἐμοί, δὶς τόσον αὐτὸς ἔχοι. 1090

Οὔ τέ τινα προὔδωκα φίλον καὶ πιστὸν ἑταῖρον,
οὔτ' ἐν ἐμῇ ψυχῇ δούλιον οὐδὲν ἔνι. 530

Οὔ ποτε δουλείη κεφαλὴ ἰθεῖα πέφυκεν, 535
ἀλλ' αἰεὶ σκολιή, καὐχένα λοξὸν ἔχει.

---

833. Γνήσιός εἰμι φίλος, καὶ τὸν φίλον ὡς φίλον οἶδα,
τοὺς δὲ κακοὺς διόλου πάντας ἀποστρέφομαι.
οὐδένα θωπεύω πρὸς ὑπόκρισιν· οὓς δ' ἄρα τιμῶ,
τούτους ἐξ ἀρχῆς μέχρι τέλους ἀγαπῶ.
Phocylides.

841. Ὅςτις ἄνδρα φίλον μὴ προδίδωσιν, μεγάλην ἔχει
τιμὰν ἔν τε βροτοῖς, ἔν τε θεοῖσιν κατ' ἐμὸν νόον.
Scol. 25.

843. Ἥμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς
ἀνέρος, εὖτ' ἄν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσιν.
Odyss. XVII, 322.

845 οὔτε γὰρ ἐκ σκίλλης ῥόδα φύεται οὐδ' ὑάκινθος,
οὔ τέ ποτ' ἐκ δούλης τέκνον ἐλευθέριον.

Εἴ μ' ἐθέλεις πλύνειν, κεφαλῆς ἀμίαντον ἀπ' ἄκρης
αἰεὶ λευκὸν ὕδωρ ῥεύσεται ἡμετέρης·
εὑρήσεις δέ με πᾶσιν ἐπ' ἔργμασιν ὥςπερ ἄπεφθον
850 χρυσόν, ἐρυθρὸν ἰδεῖν τριβόμενον βασάνῳ, 450
τοῦ χροιῆς καθύπερθε μέλας οὐχ ἅπτεται ἰὸς
οὐδ' εὐρώς, αἰεὶ δ' ἄνθος ἔχει καθαρόν.

Ἀστῶν δ' οὐ δύναμαι γνῶναι νόον ὅν τιν' ἔχουσιν· 367
οὔτε γὰρ εὖ ἕρδων ἁνδάνω οὔτε κακῶς.

855 Μωμεῦνται δέ με πολλοί, ὁμῶς κακοὶ ἠδὲ καὶ ἐσθλοί·
μιμεῖσθαι δοὐδεὶς τῶν ἀσόφων δύναται. 370

Ἐν γάρ τοι πόλει ὧδε κακοψόγῳ ἁνδάνει οὐδέν· 287
ὧσθ' οἱ σῶες ἀεὶ πολλὸν ἀνολβότεροι.

Κύρνε, σοφιζομένῳ μὲν ἐμοὶ σφρηγὶς ἐπικείσθω
860 τοῖςδ' ἔπεσιν, λήσει δ' οὔ ποτε κλεπτόμενα. 20
οὐδέ τις ἀλλάξει κάκιον, τοῦ 'σθλοῦ παρεόντος.
ὧδε δὲ πᾶς τις ἐρεῖ· Θεύγνιδός ἐστιν ἔπη
τοῦ Μεγαρέος· πάντας δὲ κατ' ἀνθρώπους ὀνομαστοῦ.
ἀστοῖσιν δ' οὔ πω πᾶσιν ἁδεῖν δύναμαι.

865 Σοὶ μὲν ἐγὼ πτέρ' ἔδωκα, σὺν οἷς ἐπ' ἀπείρονα πόντον
πωτήσῃ, κατὰ γῆν πᾶσαν ἀειρόμενος

---

845. Ὡς ἀν' ἐχινόποδας καὶ ἀνὰ τρηχεῖαν ὄνωνιν
φύονται μαλακῶν ἄνθεα λευκοΐων.
Incertus ap. Plutarch. de recta aud. rat. 13 (p. 45 D. ubi cf. Wyttenb.).

ῥηϊδίως· θοίνης δὲ καὶ εἰλαπίνησι παρέσσῃ
  ἐν πάσαις, πολλῶν κείμενος ἐν στόμασιν. 240
καί σε σὺν αὐλίσκοισι λιγυφθόγγοις νέοι ἄνδρες
870 εὐκόσμως ἐρατοὶ καλά τε καὶ λιγέα
ᾄσονται· καὶ ὅταν δνοφεροῖς ὑπὸ κεύθμασι γαίης
  βῇς πολυκωκύτους εἰς Ἀΐδαο δόμους,
οὐδέ ποτ' οὐδὲ θανὼν ἀπολεῖς κλέος, ἀλλὰ μελήσεις 245
  ἄφθιτον ἀνθρώποις αἰὲν ἔχων ὄνομα,
875 Κύρνε, καθ' Ἑλλάδα γῆν στρωφώμενος ἠδ' ἀνὰ νήσους,
  ἰχθυόεντα περῶν πόντον ἐπ' ἀτρύγετον,
οὐχ ἵππων νώτοισιν ἐφήμενος· ἀλλά σε πέμψει
  ἀγλαὰ Μουσάων δῶρα ἰοστεφάνων. 250
πᾶσι γὰρ οἶσι μέμηλε καὶ ἐσσομένοισιν ἀοιδή,
880 ἔσσῃ ὁμῶς, ὄφρ' ἂν γῆ τε καὶ ἠέλιος.

ΘΕΟΓΝΙΔΟΣ

ΓΝΩΜΑΙ ΠΡΟΣ ΠΟΛΥΠΑΙΔΗΝ.

Οὐδὲν θαυμαστόν, Πολυπαίδη· οὐδὲ γὰρ ὁ Ζεὺς 25
οὔθ' ὕων πάντεσσ' ἁνδάνει οὔτ' ἀνέχων.

Καὶ νῦν εἴσ' ἀγαθοί, Πολυπαίδη· οἱ δὲ πρὶν ἐσθλοὶ
νῦν δειλοί. τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν;
885 *ἀλλήλους δ' ἀπατῶσιν ἐπ' ἀλλήλοισι γελῶντες,*
οὔτε κακῶν γνώμας εἰδότες οὔτ' ἀγαθῶν. 60

Μηδένα τῶνδε φίλον ποιεῦ, Πολυπαίδη, ἀστῶν
ἐκ θυμοῦ, χρείης εἵνεκα μηδεμιῆς·
ἀλλὰ δόκει μὲν πᾶσιν ἀπὸ γλώσσης φίλος εἶναι,
890 *χρῆμα δὲ συμμίξῃς μηδενὶ μηδ' ὁτιοῦν*
σπουδαῖον. γνώσῃ γὰρ ὀϊζυρῶν φρένας ἀνδρῶν, 65
ὥς σφιν ἐπ' ἔργοισιν πίστις ἔπ' οὐδεμία,
ἀλλὰ δόλους τ' ἀπάτας τε πολυπλοκίας τ' ἐφίλησαν
οὕτως, ὡς ἄνδρες μηκέτι σωζόμενοι.

895 *Οὕτω μὴ θαύμαζε γένος, Πολυπαίδη, ἀστῶν* 191
μαυροῦσθαι· σὺν γὰρ μίσγεται ἐσθλὰ κακοῖς.

Δειμαίνω μὴ τήνδε πόλιν, Πολυπαίδη, ὕβρις, 541
ἥπερ Κενταύρους ὠμοφάγους, ὀλέσῃ.

---

881. *Ἔργμασιν ἐν μεγάλοις πᾶσιν ἁδεῖν χαλεπόν.*
Solon VII.

Ἐπείγ' ὁ κρείσσων Ζεὺς ἐμοῦ τυραννίδι
οὔτ' ἐξ ἐπομβρῶν, οὔτ' ἐπαυχμήσας φίλος
βρότοις ἂν ἔλθοι, εἰ δίκην λόγων ὄφλοι κ. τ. λ.
Sophocl. Polyx.

Καὶ τῷ Διῒ ἀγανακτεῖν οὐ διότι ὕει, ἀλλὰ διότι ὕστερον. Theophr. Char. 18.

Παύρους εὑρήσεις, Πολυπαίδη, ἄνδρας ἑταίρους
900 πιστοὺς ἐν χαλεποῖς πρήγμασι γιγνομένους, 80
οἵ τινες ἂν τολμῷεν, ὁμόφρονα θυμὸν ἔχοντες,
ἶσον τῶν ἀγαθῶν τῶν τε κακῶν μετέχειν.

Τοὺς οὐχ εὑρήσεις διζήμενος οὐδ' ἐπὶ πάντας
ἀνθρώπους, οὓς νηῦς μὴ μία πάντας ἄγοι,
905 οἷσιν ἐπὶ γλώσσῃ τε καὶ ὀφθαλμοῖσιν ἔπεστιν 85
αἰδώς, οὐδ' αἰσχρὸν χρῆμ' ἔπι κέρδος ἄγει.

Μήτ' ἀρετὴν εὔχου, Πολυπαίδη, ἔξοχος εἶναι,
μήτ' ἄφενος· μοῦνον δ' ἀνδρὶ γένοιτο τύχη. 130

Οὐδείς πω ξεῖνον, Πολυπαίδη, ἐξαπατήσας 143
910 οὐδ' ἱκέτην θνητῶν ἀθανάτους ἔλαθεν.

Ὄρνιθος φωνήν, Πολυπαίδη, ὀξὺ βοώσης
ἤκουσ', ἥ τε βροτοῖς ἄγγελος ἦλθ' ἀρότου
ὡραίου· καί μοί κραδίην ἐπάταξε μέλαιναν,
ὅττι μοι εὐανθεῖς ἄλλοι ἔχουσιν ἀγρούς, 1200
915 οὐδέ μοι ἡμίονοι κύφων' ἕλκουσιν ἀρότρου,
τῆς αἰειμνήστης εἵνεκα ναυτιλίης.

---

903. Ὡς δ' ἅπαξ εἰπεῖν φρένα καὶ πυκινὰν κέρδος ἀνθρώπῳ βιᾶται.
Bacchylides.

909. Ἶσον δ', ὅς θ' ἱκέτην, ὅς τε ξεῖνον κακὸν ἔρξῃ,
ὅς τε κασιγνήτοιο ἑοῦ ἀνὰ δέμνια βαίνῃ κ. τ. λ.
Hesiod. 329.

Ἀντὶ κασιγνήτου ξεῖνος ἱκέτης τε τέτυκτο.
Odyss. VIII, 546.

Ζεύς τ' ἐπιτιμήτωρ ἱκετάων τε ξείνων τε,
ξείνιος, ὃς ξείνοισιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.
Odyss. IX, 270.

Μηδ' ἱκέτας ἀδικεῖν· ἱκέται δ' ἱεροί τε καὶ ἁγνοί.
Orac. Dodon. ap. Pausan. VII, 25.

911. Φράζεσθαι δ' εὖτ' ἂν γεράνου φωνὴν ἐπακούσῃς
ὑψόθεν ἐκ νεφέων ἐνιαύσια κεκληγυίης,
ἥ τ' ἀρότοιό τε σῆμα φέρει, καὶ χείματος ὥρην
δεικνύει ὀμβρηροῦ· κραδίην δ' ἔδακ' ἀνδρὸς ἀβούτεω.
Hesiod. 450.

ΣΥΜΠΟΤΙΚΑ.

Ἦμος δ' ἠέλιος μὲν ἐν αἰθέρι μώνυχας ἵππους
ἄρτι παραγγέλλει μέσσατον ἦμαρ ἔχων,
δείπνου δὴ λήγοιμεν, ὅσου τινὰ θυμὸς ἀνώγοι,
920 παντοίων ἀγαθῶν γαστρὶ χαριζόμενοι. 1000
χέρνιβα δ' αἶψα θύραζε φέροι, στεφανώματα δ' εἴσω
εὐειδὴς ῥαδινῇς χερσὶ Λάκαινα κόρη.

Ἐγγύθεν αὐλητῆρος ἀείσομαι ὧδε καταστὰς 943
δεξιός, ἀθανάτοις θεοῖσιν ἐπευχόμενος.

925 Ὦ ἄνα, Λητοῦς υἱέ, Διὸς τέκος, οὔ ποτε σεῖο
λήσομαι ἀρχόμενος οὐδ' ἀποπαυόμενος,
ἀλλ' αἰεὶ πρῶτόν τε καὶ ὕστατον ἔν τε μέσοισιν
ἀείσω· σὺ δέ μοι κλῦθι καὶ ἐσθλὰ δίδου.

---

923. *Βωμὸς δ' ἄνθεσιν αὐτόμεσον*) πάντη πεπύκασται,*
μολπὴ δ' ἀμφὶς ἔχει δώματα καὶ θαλίη.
χρὴ δὲ πρῶτον μὲν θεὸν ὑμνεῖν εὔφρονας ἄνδρας
εὐφήμοις μύθοις καὶ καθαροῖσι νόοις
σπείσαντάς τε καὶ εὐξαμένους τὰ δίκαια δύνασθαι
πρήσσειν· ταῦτα γὰρ ὦν ἐστὶ προχειρότερον.
Xenophanes ap. Athen. X, p. 462.

925. — *Σὲ δ' ἀοιδὸς ἔχων φόρμιγγα λίγειαν*
ἡδυεπὴς πρῶτόν τε καὶ ὕστατον αἰὲν ἀείδει.
Hom. H. in Phoeb. XXI, 3.
Ἐν Δήλῳ πότ' ἔτικτε παῖδα Λατώ,
Φοῖβον χρυσοκόμαν, ἄνακτ' Ἀπόλλων',
ἐλαφηβόλον τ' ἀγροτέραν
Ἄρτεμιν, ἃ γυναικῶν μέγ' ἔχει κράτος.
Scol. 5.

*) Ita scripsi pro *αὐτὸ μέσον*, quamvis insolita compositione. Eichstaedtius in *Quaest. philol. spec. novo* 1804 p. 35 proponebat *χλοεροῖς*. Viro Cl. debetur *νόοις* pro *λόγοις*, comparanti *Plutarch. de Is. et Os.* p. 378, *ὅσια φρονεῖν, εὔφημα λέγειν.*

Φοῖβε ἄναξ, ὅτε μέν σε θεὰ τέκε πότνια Λητώ, 5
930 φοίνικος ῥαδινῆς χερσὶν ἐφαψαμένη,
ἀθανάτων κάλλιστον, ἐπὶ τροχοειδέϊ λίμνῃ,
πᾶσα μὲν ἐπλήσθη Δῆλος ἀπειρεσίη
ὀδμῆς ἀμβροσίης, ἐγέλασσε δὲ γαῖα πελώρη,
γήθησεν δὲ βαθὺς πόντος ἁλὸς πολιῆς. 10

935 Μοῦσαι καὶ Χάριτες, κοῦραι Διός, αἵ ποτε Κάδμου 15
ἐς γάμον ἐλθοῦσαι καλὸν ἀείσατ' ἔπος,
ὅττι καλόν, φίλον ἐστί· τὸ δ' οὐ καλὸν οὐ φίλον ἐστίν.
τοῦτ' ἔπος ἀθανάτων ἦλθε διὰ στομάτων.

Κάλλιστον τὸ δικαιότατον· λῷστον δ' ὑγιαίνειν· 255
940 πρῆγμα δὲ τερπνότατον, τοῦ τις ἐρῷτο τυχεῖν.

Εἰρήνη καὶ πλοῦτος ἔχοι πόλιν, ὄφρα μετ' ἄλλων 885
κωμάζοιμι. κακοῦ δ' οὐκ ἔραμαι πολέμου.

Ζεὺς μὲν τῆςδε πόληος ὑπειρέχοι, αἰθέρι ναίων,
αἰεὶ δεξιτερὴν χεῖρ' ἐπ' ἀπημοσύνῃ,

---

929. Ἀμφὶ δὲ φοίνικι βάλε πήχεε, γοῦνα δ' ἔρεισεν
λειμῶνι μαλακῷ· μείδησε δὲ γαῖ' ὑπένερθεν·
ἐκ δ' ἔθορεν πρὸ φόωςδε· θεαὶ δ' ὀλόλυξαν ἅπασαι.
Hom. H. in Apoll. 118.

939. Ἥδιστον τὸ ἐπιθυμίας τυχεῖν. Thales ap. Diogen. I, 36.
Κάλλιστόν ἐστι τοὔνδικον πεφυκέναι·
λῷστον δὲ τὸ ζῆν ἄνοσον· ἥδιστον δ' ὅτῳ
πάρεστι λῆψις ὧν ἐρᾷ καθ' ἡμέραν.
Sophocl. Creusa.

Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ,
δεύτερον δὲ καλὸν φυὰν γενέσθαι·
τὸ τρίτον δὲ πλουτεῖν ἀδόλως·
καὶ τὸ τέταρτον ἡβᾶν μετὰ τῶν φίλων.
Scol. 7.

943. — Μάλα γάρ ἕθεν εὐρύοπα Ζεὺς
χεῖρα ἑὴν ὑπερέσχε.
Iliad. IX, 419. 686.

Παλλὰς Τριτογένει', ἄνασσ' Ἀθάνα,
ὄρθου τήνδε πόλιν τε καὶ πολίτας κ. τ. λ.
Scol. 1. cf. 2.

945 ἄλλοι τ' ἀθάνατοι μάκαρες θεοί· αὐτὰρ Ἀπόλλων
ὀρθρώσαι γλῶσσαν καὶ νόον ἡμέτερον. 760

Φόρμιγγ' αὖ φθέγγοισθ' ἱερὸν μέλος ἠδὲ καὶ αὐλῷ,
ἡμεῖς δὲ σπονδὰς θεοῖσιν ἀρεσσάμενοι
πίνωμεν, χαρίεντα μετ' ἀλλήλοισι λέγοντες,
950 μηδὲν τὸν Μήδων δειδιότες πόλεμον.
ὧδ' εἶναι. καὶ ἄμεινον ἔΰφρονα θυμὸν ἔχοντας 765
νόσφι μεριμνάων εὐφροσύνως διάγειν
τερπομένους, τηλοῦ δὲ κακὰς ἀπὸ κῆρας ἀμῦναι,
γῆράς τ' οὐλόμενον καὶ θανάτοιο τέλος.

955 Ἥβῃ τερπόμενος παίζω. δηρὸν γὰρ ἔνερθεν
γῆς, ὀλέσας ψυχήν, κείσομαι ὥςτε λίθος
ἄφθογγος· λείψω δ' ἐρατὸν φάος ἠελίοιο·
ἔμπης δ' ἐσθλὸς ἐὼν ὄψομαι οὐδὲν ἔτι. 570

Ἡμεῖς δ' ἐν θαλίῃσι φίλον καταθώμεθα θυμόν,
960 ὄφρ' ἔτι τερπωλῆς ἔργ' ἐρατεινὰ φέρῃ.
αἶψα γὰρ ὥςτε νόημα παρέρχεται ἀγλαὸς ἥβη· 985
οὐδ' ἵππων ὁρμὴ γίγνεται ὠκυτέρη,
αἵ τε ἄνακτα φέρουσι δορυσσόον ἐς πόνον ἀνδρῶν
